φύσεως αὐτῶν. εἴτε γὰρ πλῆθος ἔστι τὸ βαρυόμενον, ἢ ἀδυναμία τις ἐστὶν ἡ διασολὴν πᾶσαν τὴν δυναμικὴν καὶ οἱονεὶ ἀναπαυσαμένην ὅτως τὸ λεῖπον προσθεῖναι, εἴτ' ἔμφραξις τῶν ὀργάνων ἰσχυρὰ, ἢ θλῖψις τῆς βίαιον, ἰσχυρᾶς τὴν κίνησιν εἰς τοσοῦτον σύλογον, εἰς ὃν ἀφῄρει τὸ πλεονάζοντος πνεύματος τὴν χώραν ἡ διασολὴ. ἀλλ' ἐπειδὴ τὸ τέλειος ἰσχναι, τὸ τέλειος ἀφικνεῖσθαι τὰς ὁδοὺς τοῦ πνεύματος ἐνδεικτικόν ἐστιν. διὰ ταῦτα ἡ θλῖψις ἡ τὴν ἔμφραξιν ἰσχυρὰν εἶναι φαμέν. ταῦτα μὲν δὴ κοινὰ ἅπασιν τοῖς ἐφ' ἡσυχίας τινὶ νομιζομένοις διασολῶν. ἰδία δὲ ἑκάστης αὐτῶν τὰ νῦν λεχθησόμενα. ἡ μὲν πρώτης ἱκανῶς βαρυνέσθαι τὴν δυναμιν ὑπὸ τοῦ πλήθους ὅταν γε διὰ πλῆθος ὁ σφυγμὸς γίνεται τοιοῦτος. ἡ γὰρ ὑστέρα κίνησις ἡ μετὰ τὴν ἡσυχίαν δι' ἄλλως ἐγγίνεται βραδεῖα ἡ προτέρας οὔσης ὠκείας, εἰ μὴ ἐνῆκει τό τε καὶ ἰσχυρῶς ἐβεβάρητο πρὸς τοῦ πλήθους ἡ δυναμις. ἔμπαλιν δ' ὧν ἡ δευτέρας ἔχει διαφορᾶς ἐφ' ἧς ἀμφότερα τὰ μόρια ἡ κινήσεως ἐσι ταχέα. φαίνεται γὰρ ἀναφέρουσα καὶ διασώζουσα τὸν τόνον ἡ δυναμις καὶ διαμαχομένη τοῖς πλήθει. μέση δ' ἀμφοῖν ὅτι διαλονότι διάθεσις ἐφ' ἧς καὶ ἡ κίνησις ἡ δευτέρα μέση ταχείας τε καὶ βραδείας ὅπερ ὅτι σύμμετρον. αὗται μὲν οὖν τρεῖς διαφοραὶ τῶν ἡσυχίας χιζομένων διασολῶν. ἕτεραι δὲ τρεῖς ὅταν ἡ πρώτης κινήσεως βραδείας γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέπηται προπὰς ἢ τοι βραδεῖαν, ἢ ὠκεῖαν, ἢ σύμμετρος γινομένη, ἢ διαλονότι καὶ τούτων χειρίστη ἢ ἐφ' ἧς αἱ κινήσεις ἄμφω βραδεῖαι. πολὺ δ' ὠκειοτέρα τούτης ἐφ' ἧς ἡ δευτέρα ταχεῖα. μέση δ' ἀμφοῖν ἐφ' ἧς ἡ σύμμετρος. ὅτω δὲ καὶ εἰ ἡ πρώτης κινήσεως συμμέτρου γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέποιτο προπάς. ὠκειοτέραν μὲν ἐνδείξει διάθεσιν ἡ ὠκεῖα κίνησις. ὀλιθριωτέραν δ' ἡ βραδεῖα. μέσην δ' ἡ σύμμετρον. πασῶν δὲ τῶν γνωρίμων διαφορῶν, ὑφ' ἧς τινων ἂν αἰτίας γίνωνται, χειρίστη μὲν ἡ ἀμφοτέρας ἔχουσα τὰς κινήσεις βραδείας. ὠκειοτάτη δ' ἡ ἀμφοτέρας ταχείας. μέση δ' ἐφ' ἧς ἀμφότερα σύμμετρα. καὶ ἄλλαι δὲ μεταξὺ ἡ τε μέσης καὶ τῶν ἀκρων ἑκατέρας, ἀναλόγου. ἀλλὰ καὶ χρόνου ὅσος ὁ ἡ ἡσυχίας, ὅσῳ πορ ἂν πλείων γίγνηται καθ' ἑκάστην τῶν εἰρημένων γνωμῶν διαφορὰν, τοσούτῳ χαλεπώτερον. ἔμπαλιν δὲ τῶν κινήσεων ὁ χρόνος αὐξανόμενος ὠκειοτέραν ἐμφαίνει τὴν διάθεσιν. ὡσαύτως δὲ καὶ τὸ τῶν διασολῶν ἀμφοτέρων μέγεθος ἄρειστον. ὥσπορ οὖν ἡ μικρότης χείριστον. ὅτω δὲ καὶ ἡ μὲν σφοδρότης ἄρειστον, ἡ δ' ἀμυδρότης, χείριστον. εἰ δ' ἅπαν ἅμα συνέλθοι τὰ εἰρημένα κακὰ πρὸς ἓν σφυγμόν, ὅτος ἂν ὁ χείριστος εἴη αὐτῶν. ὥσπορ εἰ καὶ πάντα τὰ ὠκειότατα, ὁ βέλτιστος. ὁ μὲν γὰρ, εἴτε πλῆθος ἔστι τὸ βάρυνον τὴν δυναμιν, νικηθεὶς αὐτὴν ἀξιολόγως, εἴτ' ἔμφραξις τις ἐν ταῖς ἀρτηρίαις, ἐν κυρίαις, μὲν τούταις, καὶ ὀ πόρρω ἡ ἀρχῆς, μεγάλῃ ἢ καὶ αὐτὴν τὴν ἔμφραξιν ἀδιάκνυται, εἴτε θλῖψις τις καὶ συνοχωρία, πᾶσαν ὀλίγου διὰ κατιλῆφθαι διὰλοι τὴν χώραν τῶν ἀρτηριῶν. ὁ δ' ὠκειότατος ἐν αὐτοῖς, ἐφ' ὃ διαλονότι καὶ αἱ κινήσεις ἀμφότεραι ταχεῖαί τε καὶ μεγάλαι καὶ σφοδραὶ, καὶ ὁ χρόνος ὁ ἡ ἡσυχίας βραχὺς, τὴν μὲν δυναμιν κρατεῖν τοῦ πλήθους ἐνδείξεται, τὰς δ' ἐμφράξεις τε καὶ θλίψεις τῶν ἀρτηριῶν, ἢ μικρὰς, ἢ ἐκ ἐν κυρίοις, ἢ πόρρω ἡ ἀρχῆς. ταῦτα μὲν οὖν ἡ καλουμένης ἰδίως προγνωσιλιῆς θεωρίας ἔχεται τῇ κοινωνίᾳ τοῦ λόγου συναναγραφόντα. Μεταβάντες δ' ἤδη σκεψώμεθα πρὸς τῶν συνεχῆ μὲν τὴν κίνησιν ὅλης αὐτῆς ἡ διασολὴν ἐχόντων σφυγμῶν, ὁ μὲν ἰσοτάχη τε πᾶσαν. ἔρηται δὲ καὶ πρὸς τούτων ἱκανῶς ἐν τοῖς πρὸς διαφορᾶς τῶν σφυγμῶν, ὁπόσαι μὲν αἱ πᾶσαι τούτου τοῦ γένους διαφοραὶ γίνονται, πόσοι δὲ καὶ οἱ καθ' ἑκάστην αὐτῶν σφυγμοί. ὡς τε ὁ δὲ τούτων τὸν ἀριθμὸν ἐπὶ χρὴ νῦν ἐπεξιέναι, ἀλλ' ὧδε τὰς αἰτίας αὐτῶν ἰτέον, ὡς οἷόν τε καὶ τούτους ἐν τοῖς καθόλου διεξιόντας, ὥσπερ τοῦ βραχύτερον γίνεσθαι τὸν ἅπαντα λόγον. ὅσοι μὲν δὴ αὐτῶν ἀπὸ ἡ ἀρχῆς ἄχρι τοῦ τέλους εἰς τάχος διαδιδάσιν, ἥπτον βαρυνέσθαι τὴν δυναμιν ἐμφαίνουσιν, ὅσοι δ' ἔμπαλιν, μᾶλλον. ὅ μὲν λυομένης γε ἡ δυνάμεως ὀλίγου γίνεται. μεγάλοι γὰρ ἅπαντες εἰσὶ, καὶ μάλιστ' ὄγκον εἰς διαστήματα τρία καὶ χρόνους τρεῖς ἢ τέτταρας ἀδιακόπως ἐγχωρεῖν οἷόν τε τὴν κίνησιν. ἴδιον δὲ τῶν ἀθρόαν εἰς τἀναντία ποιουμένων τὴν μεταβολὴν, τὸ μὴ ἡ δυνάμεως μόνης βαρυνομένης, ἀλλὰ καὶ ἔμφραξιν ἢ θλῖψιν ὀργάνων γίνεσθαι, λέγω δ' εἰς τἀναντία ποιεῖσθαι μεταβολὴν ἀθρόως, εἰ κινούμενοι ταχέως ἀξαυφνίδιον ἐγγίνοντο βραδεῖς, ἢ ἔμπαλιν ἐκ βραδείας ἡ πρόσθεν κινήσεως, ὠκεῖς. γίγνονται γὰρ οὗτοι διὰ ἔμφράξεις μὲν τινας καὶ συνοχωρείας, ἀλλ' ἥπτον χαλεπὰς τῶν διαλειπόντων, καὶ ἡ δυνάμεως δ' αὐτῆς τοῦ πλήθους βαρυνομένης, ἀλλ' ἥπτον ἢ ἐν τοῖς διαλείπουσιν. οὐ γὰρ ἴσον δή που τὸ κακόν ἐστιν, ἢ τὴν ἀναλαγὴν τῆς κινήσεως, ἢ κωλυθῆναι. οἱ γὰρ ἥμισυ μέρος μὲν τοι τοῦτο τοῦ γένους ἡ ἀνωμαλίας σφυγμοί, τὴ ποτ' ἀλλήλων διαφόρᾳσι, καὶ τίνος μὲν εἰσὶν αὐτῶν ὀλιθριώτεροι, τίνος δὲ, καὶ αὐτοὶ, καὶ ὠκειόδρομοι, ῥᾴδιον μὲν καὶ αὐτὸν τινὰ τῶν ἐντυχανόντων ἐξευρεῖν. κἀξ ὧν ὧδε τῶν διαλειπόντων εἰρήκαμεν † ὠρμημένοι. εἰρήσονται μὲν τοι καὶ πρὸς ἡμῶν ἐν τοῖς πρὸς ἡ διὰ σφυγμῶν προγνώσεως. ὁ γάρ τοι παρὼν † al. ὠρμημένον λόγος, ὀδὲν αὐτῶν ἔτι λείπεται, ὡς ἡ τὸ κοινὸν τοῦ γένους, κοινὰς καὶ τὰς ἡ γενέσεως ἐχόντων αἰτίας, ἃς δὴ νῦν ὠφέλημαι λέγων. ἀλλ' ὧδε τὸ λοιπὸν ἔτι γένος τὸ καθ' ἓν μόριον τὸ ἀνωμαλίας, ὃς διηρότας ὀνομάζομεν σφυγμοὺς ἤδη μετιτέον. ἐλέγομεν δ' αὐτοὺς ἐξ ἀνάγκης εἶναι κλονώδεις. ὅπως οἷόν τε τὰς αἰτίας αὐτῶν ἐξευρεῖν ἀπειβῶς, πρῶτον τὰς τοῦ κλονώδους ὠμελῶς διασκέψασθαι. γίνονται πίνω ὅτος ὅταν ἡ μὲν δυναμις δῦρωσος ᾖ, τὸ δ' ὄργανον σκληρὸν, ἐπείγῃ δ' ἡ χρεία. εἰ γὰρ ἓν τι τούτων ἐκλείπῃ, κλονώδης ὀκ ἂν γένοιτο. τὸ γάρ τοι σωέχον αὐτὸ τῇ γένεσιν, ἔσι βίαιον διασολὴ σκληρᾶς ἀρτηρίας. ὃ γὰρ ἂν ἄλλως ἱραδαίνοιτό τε καὶ διασείοιτο πάντη, μὴ ὀκ ἀμφοτέρων τούτων σωελθόντων. εἴτε γὰρ ἡ ἀρτηρία μόνη σκληρωθείη, μὴ μὴν τοι βιάζοιτο διασέλλειν αὐτὴν ἡ δυναμις ὧδε πλεῖον, ὀκ ἂν οὐδεὶς δή που γένοιτο κλόνος, ἀλλ' αὐτὸ δὴ τοῦτο μόνον ὁ καλούμενος σκληρὸς σφυγμός. εἰ δ' ὧδε πλεῖον μὲν ἡ δυναμις ἐθέλῃ διασέλλειν τὰς ἀρτηρίας, ἀδ' ἔποιντο μαλακότητι συμμέτρως, μέγας μὲν ἂν ὅτως, ἀλλ' ὅ πω κλονώδης, ὅθ' ὅλως σκληρὸς ἔσται. εἰπορ οὖν μέλλῃ κλονώδης ἔσεσθαι, δῆλον ὡς διασέλλειν αὐτὰς ἡ δυναμις ὧδε πλεῖον ἢ πεφύκασι βιάζεται. ἀλλ' οὐκ ἂν εἰ μὴ πρὸς ἡ χρείας ἐπῇγούσης ἰσχναίνοιτο, βιαίως ἂν ποθ' ὥρμησεν ἐνεργεῖν ἡ δυναμις. ὡς δ' ὅλως ἐῤῥῶσθαι μὲν ἔφαμεν χρῆναι τὴν δυναμιν, ἐσκληρῶσθαι δὲ τὰς ἀρτηρίας, ἐπείγῃ δὲ τὴν χρείαν.

χρείαν. αὐτῷ δὲ τούτῳ τῷ ἔπειξιν ὑπό τινος ποτὲ αἰτίας γίγνεσθαι λεκτέον. οὐ δὲ γὰρ οὐδὲ ὅσον χρὴ παραλιπεῖν. ἔστι δὲ μία μὲν, ὡς ἂν οὕτω τις εἴποι, πρόσεχὴς αἰτία. πολλαὶ δ' αὐτῆς δημιουργοί. τίς οὖν ἡ μία, καὶ τίνος; καὶ πολλαὶ; ἡ μία μὲν ὅταν ἁπλήρωτος ἡ χρεία μόνη πρὸς τῆς ὠφελείας. αἱ πολλαὶ δὲ τούτης ποικτικαὶ, καθόλου μὲν φάναι δυνάμεως ἀρρωστία, καὶ ὀργάνων δυσπαθεια, καὶ τῆς χρείας αὔξησις. ἀλλ' ὧδε τῷ νῦν προκειμένου γένους τῶν σφυγμῶν ἀφελεῖν χρὴ τὴν ἀρρωστίαν τῆς δυνάμεως. ἐδήχθη γὰρ ἐρρῶσθαι. λοιπὸν οὖν ἤτοι τῆς χρείας αὔξανομένης, ἢ τῶν ὀργάνων ἀπειθούντων, ἢ καὶ ἀμφοῖν ἅμα συνελθόντων ἐλάττων ἡ διαζολὴ τῆς χρείας ἐν τοῖς ἐλλυνώδεσιν ἔσται σφυγμοῖς. ἀλλ' ἡ μὲν χρεία τῇ πλεονεξίᾳ τῆς θερμότητος, ἢ τῇ διαπάνῃ τοῦ ψυχικοῦ πνεύματος αὐξάνεται. δυσπαθῆ δὲ γίνεται τὰ ὄργανα, διὰ ἐμφράξεις, ἢ θλίψεις, ἢ σκληρότητας. ἅπτται δὲ αἱ σκληρότητες, ἢ φλεγμαινόντων, ἢ σκιῤῥουμένων, ἢ σκληρυνομένων, ἢ ξηραινομένων, ψυχομένων † τεινομένων γίνονται τῶν ὀργάνων. καὶ ὅτως ἤδη πάσας εὑρίσκομεν τὰς αἰτίας τῶν † al' ἢ κλονοδῶν τὴν γένεσιν. ἡ γάρ τι δύσπρακτος ἀνωμαλία προϊοῦσα ἢ, αὐξήσει τὸν κλόνον, ὃ μὴν αἰτία γε αὐτῶν ὅτι τῆς γένεσιν. ἀλλὰ ἡ κατὰ διαφόρους μόρια ἢ ἀρτηρίας ἀνωμαλία τῶν σφυγμῶν, ταῖς τοιαύταις ἕπεται προσεχῶς δυσκρασίαις. ψῦχος μὲν γὰρ ὑγρότερον θ' ἅμα καὶ θερμότερον ἢ τὸ μόριον ἢ ἀρτηρίας, ψύχους μείζονος ἢ ἐλάττονος τὴν βραδυτέρου. καὶ δὴ τὴν προσεξορμᾶται μὲν εἰς τὴν κίνησιν τὸ πρότερον ἑρκμένον, ὕστερον δ' ἄρχεται, τὸ δ' ὕστερον. ὥστε κατὰ ταῦτα μὲν, καὶ οὐ κλονώδεις σωσωξήσει, προεχές δ' ἄτοπον γένεσθαι τῆς κατὰ διαφόρους μόρια τῶν ἀρτηριῶν ἀνωμάλου κινήσεως, ὁ τοίνυν δίκροτος καλούμενος σφυγμός, ἤδη ποτὲ καὶ πρὸ τούτου λέγομεν, ὃν δ' ἔπος γίνεται. ὅταν τὸ μόριον ἢ ἀρτηρίας ὃ τῶν ἀφὼ ὠθιβαλλομεν, σκληρότερα καὶ ψυχρότερα, καὶ διὰ ταῦτα δυσκινητότερα, τὰ ἑκατέρωθεν ὧν οὐκ ἀπομεθα γένηται, κἄπειτα προεξορμῆσαν αὐτῶν εἰς τὴν διαζολὴν τὸ μέσον, ἀνταπωσθὲν πάλιν ἔσω καὶ αὖθις σωεξαίρει, διὰ ἀνάγκη πληγῆναι τῶν ἀφὼ. ὁ μὲν οὖν τοιοῦτος σφυγμὸς, δίκροτός ὅτι μόνον, οὐ μέντοι καὶ κλονώδης σαφῶς. ἕτερος δέ τις ἅμα καὶ ἐλλυνώδης ἱκανῶς ὤν, καὶ δίκροτος γίνεται κατὰ τοιόν δέ τινα τρόπον. ὅταν κλονωδῶς ἀναφερομένης ἢ ἀρτηρίας, ὅσον μὲν ὑπὸ τοῦ διάρματι μόνῳ γυμνὸν ἑτοίμως ἀναφέρεται, τὰ δ' ἑκατέρωθεν τοῦ δὲ βαρύνηται διὰ πάχος ἢ πλῆθος τῶν ὠθικειμένων σωμάτων, ὡς μηδὲ τῶν διαζολῶν αὐτῶν ὑπὸ πίπτειν τοῖς ἀπομένοις, ἀνάγκη τινικαῦτα τοῦ φανεροῦ μόρους ἤδη πάντως ἀνηνεγμένου, τὰ μὴ φαινόμενα τὰ ἑκατέρωθεν ἐπ' ἀναφέρεσθαι. καὶ οὕτω φθάνον καταφέρεσθαι τὸ μέσον, αὖθις σωεξαίρεσθαι τοῖς ἑκατέρωθεν. ὡς ἐπανέρχεσθαι τε καὶ προαπίπτειν ἐκ δευτέρου τοῖς ἔξωθεν ἀπομένοις. δῆλον οὖν ὅτι δίκροτος ὁ τοιοῦτος ἔσται, ταύτῃ πλεονεκτῶν τοῦ κλονώδους μόνον † ὅτι κατὰ μεγάλα μόρια ἢ ἀρτηρίας, τὴν ἀνωμαλίαν ἢ κινήσεως ἐκτήσατο. τοῦ μὲν γὰρ ὑποπίπτοντος τοῖς δακτύλοις ἅπαντος ὁμοίως κινουμένου, πλὴν ὅσα ἐλάττων ἐστὶν. τῶν δ' ἑκατέρωθεν αὐτοῦ διαφερόντων, ὁ δίκροτος γίνεται, οὐ κλονώδης μόνον οὐδὲν πλέον ὑπάρχον † al' μόνου πρασαίνεσθαι καὶ διασείεσθαι μικρὸν ἅπαντα τὰ μόρια, τὴν δὲ ὧν οὕτω μεγάλοις μέρεσι διαφορὰν ἢ κινήσεως ὥστε ὁ δίκροτος οὐκ ἔχει. δῆλον δὲ ἐκ τῶν εἰρημένων ὡς ὁ δίκροτος, ἐδ' ὅτε μὲν ὧδε δυσκρασία γίνεται μεγάλη, καὶ σκληρότητι βραχεία ἢ οὕτω κινουμένης ἀρτηρίας, ἐδ' ὅτε δ' ὧδε σκληρότητι μεγάλῃ μετά τινος δυσκρασίας, ἢ πάχους ἢ πλήθους χυμῶν τε καὶ σαρκῶν. ὁ μέντοι δρακοδίζων καλούμενος, κοινὸν μὲν ἔχει πρὸς τὸν δίκροτον, τὸ δὶς πλήττειν, οὐτε κοινὸν δὲ τὴν αἰτίαν. οὐ γὰρ ἢ σκληρότητος τῶν ὀργάνων-ὅτε δ' δυσκρασίας ὀξ ἀνάγκης ἐφάπτεται, ἀλλ' ὅταν ἡ διώκμις ὅσον μὲν ἐφ' ἑαυτῇ σώζει τὸν ἢ φύσιν τόνου, ἴσχυῃ δὲ τῆς κινήσεως, πόθι δὴ πλῆθος ἄμετρον, ἢ δι' ἔμφραξιν, ἢ θλῖψιν τῶν ὀργάνων, ἡσυχίαι τινικαῦτα διακόπτῃ τὴν διαζολήν. δέοντος ἄρα τὸ δεύτερον μέρος αὐτῆς τὸ μετὰ τὴν ἡσυχίαν εὐρωστότερον φαίνεται τοῦ πρὸ ἢ ἡσυχίας. ἀθροίζασα γὰρ ὡς ἂν εἴποι τις ἑαυτὴν καὶ συλλέξασα, καὶ ῥώζασα καὶ ἀνακτησαμένη ἡ τόνος νενικημένη δύναμις, ὠθίπτεται σφοδρότερον, ἐκνικῆσαί τε καὶ διώζασθαι τὰ λυποῦντα ἀπολύσασα. καὶ δὴ καὶ δρᾷ πολλάκις. ἢν δέ ποτε μὴ κατὰ τὴν διαστολὴν ὁρμὴν νικηθῇ, χείρων μὲν οὐ οὕτως εἴη τοῦ δρακοδίζοντος ὁ τοιόσδε σφυγμὸς, ἀνώνυμος δέ ὅτι. καί τοι τινὲς ἅπαντας τούτους, ὧν τὸ σωεχὲς δ διαστολῆς ἡσυχία διακόπτῃ, δρακοδίζοντας καλοῦσιν. ἡμῖν δ' ὀνομάτων γε ἀδιάφορα μέλει, πλὴν ὅσα τοῦ σαφοῦς δ διδασκαλίας ἕνεκα, δεδήλωμένου τοῦ πράγματος ἤδη σαφῶς, ἐφ' ἕτερον εἶδος ἀνωμάλου σφυγμῶν ἰτέον ὅτι, οὓς καλοῦσιν κυματώδεις ποτὲ μὲν σκωληκίζοντας. ἐλέχθη γὰρ ὃν καὶ πρὸ τούτων, ὅτι τοῦ ποσῷ μόνῳ διαφέρουσιν οἱ εἶδος ἄμφω λεπτυσμένοι. καὶ εἰσὶ δηλονότι τῶν κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἐν μιᾷ διαστολῇ τὴν ἀνωμαλίαν ἐχόντων. αἰτίαι δ' αὐτῶν τῆς γένεσιν, ἀρρωστία ἢ διωκμένης, ἢ πλῆθος χυμῶν, ἢ μαλακότης ὀργάνων ἐκάστου. ὅταν μὲν γὰρ ἀπὸ ἢ ἀρχῆς διοικούμενον εἰς τὰς κατὰ μέρος ἀρτηρίας ὁ τόνος, ἰσοδυνάμως ὅλου ὀξαίρειν ἀδυνατῇ τὸ ἀγγεῖον, ἐν τούτῳ τὰ μὲν ἐγγυτέρω ἢ ἀρχῆς πρότερον ἄρχεται ἢ διαστολῆς, τὸ πορρωτέρω δ' ὕστερον. εἰ μὲν οὖν ὁμαλῶς τὸ τοιοῦτον γίγνοιτο διὰ ὅλων τῶν ἀρτηριῶν, ἀεὶ τὸ πρότερον αὐτοῦ μόριον, πρότερον φανεῖται κινούμενον, ὡς εἰ καὶ ῥεόντος τινος ἀκωλύτως διὰ αὐτῶν, ἤτοι πνεύματος, ἢ ὑγροῦ, οὕτω σφυγμὸς ὧν, τελεῖσθαι συμβαίνει. καὶ τοιοῦτόν ἐρασίστρατος ἦ ἀεὶ γίνεσθαι φησὶ καταψοῦδόμενος τῶν φαινομένου. τῶν δ' ἄλλων οὐδείς μὴ ὅτι ἰατρῶν, ἀλλὰ μηδὲ τῶν φιλοσόφων, ἢ ἰδιωτῶν. ἅπασι γὰρ ὠφανῶς φαίνεται ἅπαντα τὰ μόρια τῶν ἀρτηριῶν ὑπ' † αὐτῷ χρόνῳ διασειόμενα. πανοῦς δὲ καὶ οὐ δὲ κατὰ φύσιν ἔτι, τὸ, τὰ μὲν ἐγγυτέρω τῆς καρδίας πρότερον φαινεσθῇ κινούμενα, τὰ δ' ἀποτέρω, δεύτερα. οὐ μὴν ἤδη γέ πως κυματώδης, ἢ σκωληκίζων ὁ τοιοῦτος σφυγμός, ἀλλ' ὅταν αὐτῷ προσγένηται τὸ διὰ τῶν ἀρτηριῶν ῥεῖν φανταζόμενον, ἰσχεδαίπη καὶ μηδὲν καὶ ἡσυχάζειν δοκεῖν, εἶτ' αὖθις ῥεῖν καὶ πάλιν ἴσχεσθαι, καὶ οὕτω γίγνεσθαι διὰ ὅλης τῆς ἀρτηρίας, ὁ τοιοῦτος σφυγμὸς ἤτοι κυματώδης ἢ σκωληκίζων ὀξύ. πολυγραφομένων γὰρ ἀεὶ τῶν κατὰ μέρος κινήσεων ἡσυχίας, τὸν οἷον κυμάτων διαδοχὴν, ἢ σκώληκος διερπούσης φαντασίαν γίνεσθαι συμβαίνει. εἰ μὲν ὧδε ὑπὸ

πλήθους βαρυῶσιτο, τοῦτ' ἴσχει ⸂ διακόπτει καὶ διαχίζει τὸν τόνον ⸃ὥστε ἂν ἢ πλεῖον ἠθροισμένων, καὶ οὕτω πολλὰς διαστολὰς δίκην κυμάτων, ἀλλήλας ἐκδεχόμενας, καθ' ὅτι ἂν ὁ τόνος χιλιοπλασίας ⸂ἀκινησίας ⸃ἔχῃ τοῦτο τὸ μόριον τοῦ κύματος. εἰ δὲ ⸂ χωρὶς ὑγρότητος ἡ δυνάμις αὐτὴ μόνη κάμνοι πᾶσαν μὴ ἀθρόως ἀδυνατοῦσα διαπεφευγέναι τὴν ἀρτηρίαν, ἡ ⸂ μόρια δὲ ὀργαζομένη ὧδε, γένοιντ' ἂν ⸂ ὅτως οἷον κυμάτων ἐνῶν πολλαχοῦ γραφὰ πολλὰς διαδεχομένων ἀλλήλας τὴν διαστολήν. τὸ γε μὴν διάφορον τούτων γε τῶν σφυγμῶν καὶ τῶν διὰ πλῆθος γινομένων, μέγεθός ἐστι. ⸂ διὰ ὧδε σκωληκίζοντες μὲν οὗτοι διὰ τὴν μικρότητα, κυματώδεις δ' ἐκεῖνοι διὰ τὸ μέγεθος ἀνομάδησαν. αἰτία δὲ τοῖς μὲν, ἡ τῆς δυνάμεως ἀῤῥωστία. τοῖς δ' ἡ πρὸς τὴν ὑγρότητος πλεονεξία. ⸂ μὴν καὶ διὰ μαλακότητα τῶν ὀργάνων ἐχάτερα γίνονται οἱ τοιοῦτοι σφυγμοί, πλὴν πλησίον τοῦ συμβαίνοντος ⸂ ἡ τὰς μαλακὰς καὶ νεαρὰς ῥάβδους, ὡς ἀπομένων ἀπ' ἄκρου, τὰ μέν τινα τῶν μορίων, ⸂ μάλιστα τὰ πλησίον τῆς λαβῆς συνεξαίρειν. τὰ δέ τινα λυγιζομένων αὐτῶν ἐπὶ μέτριον ταπεινὰ, καὶ ⸂ ἡ κάτω. οὐ μὴν γέγε ταῖς σκληραῖς καὶ ξηραῖς ῥάβδοις φαίνεταί τι τοιοῦτον, ἀλλ' ὁμοτόνως ἅπαντα καθ' ὅτι ἂν αὐτῆς λαβόμενος ἀπαίρειν ἐθέλοις, συνεξαίρεται. τοιοῦτόν δέ τι συμπίπτουσι καὶ ταῖς ἀρτηρίαις, ὅταν ὑγρότητι πολλῇ διάβροχοι γένωνται, οὐκ ἐπὶ γὰρ δέχονται τὸν ἀπὸ ⸂ ἀρχῆς τόνον ὁμοίως ἅπασι τοῖς μορίοις. ἀλλ' οἷον λυγιζόμεναι καὶ εἱλούμεναι πολλαχοῦ διακόπτουσι, καὶ οὕτω τὰ πολλὰ μὲν κυματώδεις, ἔστι δ' ὅτε καὶ σκωληκίζων ὁ σφυγμὸς ἔσαι. σὺν μὲν γὰρ ἐῤῥωμένῃ τῇ δυνάμει κυματώδης, μεγάλα γὰρ ἀπαίρειν οὕτω δύναται μόρια τῆς ἀρτηρίων, σὺν ἀῤῥωστοτέρᾳ δὲ σκωληκίζων, ἐκ μικροῦ διαστήματος εἱλουμένου τοῦ τόνου. ἀλλ' ὀυθὺς ἀνάγκη ἔσαι ἀνώμαλόν τε ἄλλως καὶ ποσάκις καὶ διαλείποντα γίνεσθαι, καθάπερ καὶ ἐπὶ τῶν ὑγρεόντων ἔχει. ἐφ' ὧν ἐπὶ μὲν αὐτέχοντος τοῦ τόνου, καθάπερ καὶ ἐν τοῖς πρὸ αὐτῆς λόγοις ἐφεξῆς εἰρήσεται, πλατὺς καὶ εὐματώδης ὅδε, νικωμένου δὲ, πολυειδῶς ἀνώμαλος γίνεται. ἀλλ' ἐπεὶ ⸂ περὶ τούτων αὐτάρκως εἴρηται, τῶν μυούρων ἐφεξῆς μνημονεύσωμεν, ἀδηφαγίας ἡ οὖν σφυγμοὺς ὀργαζομένης δυνάμεως ἐπομένων. ὅταν γὰρ ὁ ἀπὸ τῆς καρδίας ὠθῇ τὰς κατὰ μόρος ἀρτηρίας διήκων τόνος, ἀεὶ καὶ μᾶλλον ἐν τοῖς προῤῥωτέρω μορίοις ἐκλύεται, μικροτέρας οὕτω καὶ ἀμυδροτέρας ἀναγκαῖον γίνεσθαι τὰς ἐν αὐτοῖς κινήσεις. ὡς οὖν ἐν τοῖς ἐγγυτέρω μορίοις ἡ ἀρχῆς εὑρηκέναι τινὲς φασὶν ἐνίοτε τὰς ἐλαχίστους κινήσεις; οὐκέτι γ' οἷόν τε λέγειν ὧδε τούτων, ὡς ὁ παρὰ ἡ ἀρχῆς τόνος, ἐν τοῖς ἐγγυτέρω μᾶλλον, ἢ ἐν τοῖς προῤῥωτέρω διαλύεται. ἐμοὶ μὲν δοκοῦσιν ἡ διὰ τὴν ἡ θέσεως τῶν ἀρτηριῶν ἀνωμαλίαν ὅτως φαντάζεσθαι, ἢ εἰ μὴ ὄντως ἀληθεύουσιν, εἰς δυσκρασίας ἀνωμαλίαν ἀναφέρειν χρὴ τῶν τοιούτων σφυγμῶν ἁπάντων τὴν γένεσιν, ἵν' ἡ παρὰ ἡ ἀρχῆς εἰς τὰς ἀρτηρίας ἐκτεταμένη δυνάμις, τοῖς μὲν εὐκράτοις αὐτῶν μορίοις εὔλογος βέλτιον ἢ χωρίνη, τοῖς δυσκράτοις δὲ χείρων. οὕτω γὰρ ἴσου τε καὶ ταυτοῦ τόνου, τὸ μὲν ὑγρότητί τε καὶ θερμότητι μετρίᾳ κεκραμένον ὄργανον, ἑτοιμότερον τε καὶ μᾶλλον κινεῖται. τὸ δ' αὐχμῶδες, ἢ ὑγρὸν ὑπερβάλλοντος, ἢ ψυχρόν, ἀργότερόν τε καὶ ἧττον. ἆρ οὖν καὶ οὗτοι οἷον ἀδηνωδυνότας τε καὶ πόδαγρωδυνότας σφυγμοὺς ὠσάυτως φυσιολογήσομεν. ἢ δυνατὰ μὲν ἴσως ποτὲ καὶ οὕτως γένεσθαι, πολλὰ μὲν φαργῶς ἐφάνησαν ἐμοὶ γοῦν διὶ ἑτέρας γιγνόμενοι προφάσεις. ὅταν μὲν γὰρ ἡ δυνάμις ἀῤῥωστος ᾖ, σώτηξις δὲ τῶν πεφυκεμένων ταῖς ἀρτηρίαις σωμάτων. καθ' ὅτ' ἂν αὐτῶν μᾶλις ἐκτετηκὸς, καὶ διὰ ⸂ κουφότερον ὄν, ἡ κίνησις ἀνακύψαι δυνηθῇ, κατὰ ⸂ μάλιστα καὶ τὸ μέγεθος αὐτῆς ἐμφαίνεται. παραβαλλομένη γὰρ ἡ ἐν τούτῳ διαστολὴ ταῖς ἐκατέρωθεν μικροτέραις οὔσαις, μόνον κατ' ἄμφω τὰ μόρια τὴν κίνησιν ἀποφαίνει. ⸂ δ' ἐν ταῖς ἰσχυροτάταις δυνάμεσιν οὐκ ἐνδέχεται γένεσθαι, χρὴ γὰρ ἀκίνητον αὐτὴν εἶναι, καὶ μὴ φορεῖν τὸ βάρος τῶν ὠκειμένων σωμάτων, ἵν' ἀεθητὴν ποιήσῃ τὴν ⸂ τροχοῦ ἡ ἐν ⸂ γυμνοτέρῳ μορίῳ διαστάσεως, πρὸς τὰς ἐν ζῶσι βεβαρημένοις. ὡς δ' ἡ παρὰ τὴν θέσιν ἡ ἀρτηρίας ἀνωμαλία γίνεται τῶν σφυγμῶν; ⸂ γὰρ ἔτ' ἐν δεῖν ἔοικε ⸂ λόγῳ. ὡς δ' ἄλλως, ἢ ὥσπερ ἱπποκράτης εἶπε καθόλου πρὸς πάσης ἡμᾶς διδάσκων διαγνώσεως, μὴ γὰρ καὶ αἱ ἡ μήτρας ὠσάυτως, καὶ αἱ ἡ ῥάχεως, καὶ τῶν νωτιαίων γίνονται, τεινομένων εἰς ἐκεῖνα τὰ μόρια τῶν σωμάτων, εἰς ἅπερ καὶ διατρέφεται. ⸂ δ' εἶναι πολλὰς τὰς τεινούσας αἰτίας, δυσφώρατον τὸ καθόλου τοῖς πλείοσι τῶν ἀρχαίων ἰατρῶν ἐγίνετο. καὶ γὰρ φλεγμοναὶ καὶ σκίῤῥοι καὶ ἀῤῥήματα καί τινων ἀπεπτημάτων φύματα γένεσις, καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι τείνειν πως ἐαυτὰ διώκνασι τὰ συνεχῆ. ἥδη δὲ ⸂ σκληρότης αὐχμώδης καὶ ψύξις ἄμετρος, ὁμοίον τι πήξει δρῶσα, καὶ πασμώδης σύντασις, ὧν ἄλλοτ' ἄλλο διαῤῥήγνυσι τὰς ἀρτηρίας. μάλιστα δὲ τὴν ἀνωμάλου δυσκρασίαν ἡγητέον διαῤῥήγνυσθαι. ἀλλ' ἐπεὶ ⸂ περὶ τούτων εἴρηται τὰ εἰκότα προσθεῖναι χρὴ τὸν περὶ τῶν πασμώδους σφυγμοῦ λόγον, ὃν τὸ μὲν ὄνομα πρέπον, ἀπὸ τῆς ἰδέας αὐτὸ καὶ τοῦ παθήματος ὁ δηλοῦν τέτευχε. τείνεσθαι γὰρ ἔοικε ἄμφω τὰ πρῶτα δύεις τὴν ἀρτηρίαν, καὶ μικρὸν ὕστερον πασμὸς τὸν ἀνθρώπον καταλαμβάνῃ. τί οὖν δὴ τὸ ἄπορον ἐνταῦθα, καὶ τίνος ἕνεκα προβέβληται; εἰ μὲν ἡ καρδία καθάπερ ἀρτηριῶν, οὕτω καὶ νεύρων ἐστὶν ἀρχὴ, οὔτ' ἄπορον οὐδὲν ⸂ μέτριον προβέβληται, εἰ δ' ἄλλη μὲν ἀρχὴ νεύρων. ἄλλη δ' ἀρτηριῶν, καὶ ταῖς μὲν σφυγμὸς ἐνεργείᾳ, ζωῇ δ' ἄδηλος τε ⸂ κίνησις ἐκούσιος, ὥσπερ οὐκ ἔστι τῶν ἐνεργείᾳ αὐτοῖς, οὐδὲ μία μετοσία, ὅτως ἂ δὲ τ παθημάτων ἔσαι τὶς κοινωνία. ἢ κακῶς ⸂ λέγουσιν ἡμῖν ψευδόμενοι λέγουσιν, ὅσοι γε δοκοῦσιν ἐκ ἐᾶν σοφίσιν ἰδιωτείαν. ὁ γάρ τοι πατὴρ τοῦ δόγματος ὁ θεῖος ἐκεῖνος ἱπποκράτης, σύῤῥοιαν μίαν φησὶ, σύμπνοιαν μίαν, πάντα πᾶσι συμπαθέα, φύσις κοινή. ἢ γὰρ ἂν εἰ μὴ τοῦτ' ἦν, δύο ἢ τρία οὕτως ἂν καὶ ἐκ ἑνὸς ἡμῶν. νυνὶ δὲ καρδία μὲν ἀρτηρίας ἐγκεφάλου ἐκπέμπει δεσμὸν ἡ κοινωνίας, νεῦρα δ' ἐγκέφαλος καρδίᾳ, καὶ εἰ μὴ μεγάλα, τό γοῦν ἐκ τοῦ λόγου πρόσταγμα διασέλλειν δυνάμενα. οὕτω δὲ καὶ ταῖς ⸂ μορίου ἀρτηρίαις αἱ παρὰ τῶν νεύρων ἴνες εἰς κοινωνίαν ἔχοντας δι' ὧν ἐκ ὀργάνων μόνων ἀλλὰ ⸂ παθημάτων ἀλλήλοις μεταδιδόασι. ⸂ οὐδὲν ἐπὶ θαυμάσιον, εἰ τ νεύρους γένους ἅπαντος ἐνουμένου ταῖς ἀρτηρίαις, ἡ κοινωνία τοῦ παθήματος ἐμφαίνεται. τῶν γε κατὰ μέρος ἀφύσεων ἀλλήλαις ὠδιμιγνυμένων. ἀλλὰ γ' ἐπεὶ καὶ τὰ περὶ πασμώδους εἴρηται σφυγμοῦ, τὸ λοιπὸν ἐπὶ πρώτου

θετέον ἡμῖν ἐστίν, εἰς τὴν περὶ τὴν ἀνωμαλίαν ἁπάντων φυσιολογίαν. λείπεται δ' ὡς οἴμαι πῶς ὑψηλός, καὶ ταπεινός, καὶ πλατείας, ἢ στενός, καὶ μακρός, καὶ βραχεῖς γίνονται σφυγμοί. πλεῖστοι γὰρ δὴ οὗτοι, καὶ μάλιστα ποικίλλουσι τὰς ἀνωμαλίας πάσας τάς τε καθ' ἕνα σφυγμόν, καὶ πολὺ δὴ μᾶλλον τὰς ἐν ἀθροίσματι. συμβαίνει δήπου τοιοῦτον, ἐν ταῖς διαστολαῖς τὰς ἀρτηρίας, ἐπί τε τοῖς ὑγιαίνουσιν ἅπασιν καὶ τοῖς πλείστοις τῶν νοσούντων ἡ ἄνω περιφορέας αὐτῆς μᾶλλον ἀναθανόμεθα κινουμένης, ἢ τὴν ἐν τοῖς πλαγίοις μοῖραν. ἡ μὲν γὰρ ἐγγυτέρω ἡ ἀφῆς ἡμῶν ἐστί, καὶ δι' ἐλαττόνων ὁμιλεῖ σωμάτων, τὰ δ' ἐκατέρωθεν αὐτῆς αὐτά τε πλέον ἅπτεσι, καὶ πλέω παρεμβέβληται τὰ διὰ μέσου σώματα. καὶ τοίνυν αὐτὸς ὁ κατὰ φύσιν σφυγμὸς, οὐκ ἀκριβῶς ὀξυτάζει τὴν ὑψηλότερος ὄντα, ἀκριβεστέρως μὲν ἀεὶ ἡ εἰς τὸ πλάτος ἐν αὐτῷ διαστάσεως, πλεονεκτοῦσης δὲ ἡ εἰς ὕψος, ἀλλ' ἐπεὶ μέτρον οὗτος ἡμῖν ἐστὶ καὶ κανὼν ἁπάντων τῶν ἄλλων, οὐδ' ὑψηλὸν, οὔτε σφοδρὸν ὀνομάζομεν αὐτὸν, ἀλλ' ὥσπερ οἶμαι πρέπει καὶ δίκαιον ὄντα, σύμμετρόν τε ὄντα μέσον ἁπασῶν τῶν ὑπερβολῶν. εἰθισμένοι δὲ οὕτω καὶ σωτεθραμμένοι, καὶ πολλαχοῦ εὑρίσκοντες αὐτὸν οὐκ ἀεὶ τῶν ὑγιαινόντων μόνων, ἀλλὰ καὶ ἀεὶ τῶν νοσούντων, ῥᾳδίως γνωρίζομεν οὐκ ἀκριβεστέρους, ἢ ὑπερβάλλοντας αὐτὸν, καθ' ἥν τινα οἷον τῶν διαστάσεων. καὶ γάρ τοι καὶ ὁ μακρὸς καὶ ὁ βραχὺς, ὡς πῶς ἄρα λέγονται. καὶ ὅσις μὴ εἴθισται ἀεὶ δὲ, οὐκ ὅπως ὑψηλοῦ καὶ ταπεινοῦ καὶ πλατέος καὶ στενοῦ γνοίητ' ἂν ἀκριβῶς γνώμων, ἀλλ' οὐδὲ μακροῦ καὶ βραχέος. ὡς οἷόν ἄνθρωπόν τινα πάντη σύμμετρον εἶναι φαμὲν, οὐ τῇ πρὸς χεῖρα κατὰ τὴν αἴσθησιν ἰσότητι, τὸ μῆκος ἀεὶ πλάτει καὶ βάθει παραβάλλοντες, ἀλλὰ τῇ κατὰ δύναμιν, οὐδεὶς γὰρ οὕτως εὐρεθείη βραχὺς ὡς ἀκριβέστερον τὸ μῆκος τοῦ πλάτους. οὕτω καὶ σφυγμὸν σύμμετρον ὀνομάζομεν, τὸν κατὰ φύσιν ἀναλογίαν τε καὶ συμμετρίαν, κανόνα ἡ ἰσότητος, οὐ τὴν αἴσθησιν ποιούμενοι. πάντως δὲ ἐν αὐτῷ τὸ μὲν μῆκος ὑπερέχει τοῦ βάθους, βάθος δ' ἂν τοῦ πλάτους. αὐτίκα μὲν γὰρ εἰ νοήσαιμεν καθ' αὐτὴν τὴν ἀρτηρίαν γυμνὴν ἁπάντων τῶν περικειμένων σωμάτων, ἴσον ἔσται τὸ πλάτος τῷ βάθει. μᾶλλον δ' οὐδ' εἰπεῖν ἔχομεν ἐπί γε τοιούτου, ποτὲ μὲν εἶναι τὸ πλάτος, ποτὲ δὲ βάθος, ἀλλ' ὥσπερ ὅμοιον ἑαυτῷ πάντη τὸ σῶμα κυκλοτερὲς ὑπάρχει, οὕτω καὶ τῶν διαστημάτων, οὐ δὲ μία διαφορά. τεθείσης μούτοι κατά τινος ἑτέρου σώματος αὐτοῦ, κάτω μὲν ἂν ἤδη λέγοιτο καθ' ὃν σκελίζεται μοῖραν, ἄνω δὲ τὸ κατ' ἀντικρύ. τὸ δ' ἐν τῷ μέσῳ τῶν διαστημάτων κάτωθεν μὲν ἄνω, νοοῦσιν ὕψος. ἄνωθεν δὲ κάτω, βάθος. ἔνθα δ' ὕψος καὶ πλάτος, ἐνταῦθα θάτερον τῶν διαστημάτων βάθος ἢ πλάτος. εἰ δὲ μὴ μόνον σκελίζοιτο κατά τινος, ἀλλὰ καὶ τὴν πλαγίαν αὐτῶν, ἢ ποσέπη τὴν ἄνω περιλαμβάνοι τινὰ σώματα, παντί που δῆλον, ὡς τὰ δι' ἐλαττόνων σκιπασμάτων ἡμῖν ὁμιλοῦντα μόρια, σαφεστέραν ἐνδείξεται τὴν κίνησιν, ἢπερ τὰ διὰ πλειόνων. ἀλλά μὲν ὧν γε δὴν ἀρτηριῶν ἡ θέσις ὑπὸ τοῦ δέρματος, τοιαύτη δ' ἐστὶν ὧν ἐφαπτόμεθα, οὐ σφυγμοὺς διαγινώσκοντες, τούτων τὸ μὲν ἄνω διὰ μόνα τοῦ δέρματος ἡμῖν ὁμιλεῖ, τὰ δ' ἐκατέρωθεν εἰς ὅσον ἀρχωρεῖ πῶς τὸ πλάγιον εἰς τοσοῦτο διὰ μακροτέρας τε τοῦ διαστήματος, πλέονάν τε τῶν ἐν τοῦ μέσῳ σωμάτων. ἢ διὰ ταύτην τὴν ἀναγκαίαν ὑψηλοτέρος ἢ ἀεὶ πᾶς σφυγμὸς ὄντως ὁ κατὰ φύσιν, εἰ παραβάλλοις ἀλλήλοις τὰ διαστήματα. λέγεται δὲ σύμμετρος ἢ κανὼν τῶν ἄλλων ὁμοίως τῷ Πολυκλείτου κανόνι. ὡς γὰν ἐκείνῳ παραβάλλοντες οὐς ἄλλους ἀνδριάντας, ἀδρούς, ἢ ἰσχνούς, ἢ πλατεῖς, ἢ στενούς, ἢ τι τῶν ἄλλων ἀμετρίων ὄνομα προσαγορεύομεν, ὅταν μὲν οὐ σφυγμὸς τοῦ κατὰ φύσιν ἀντεξετάζοντες, ὑψηλὸν, ἢ ταπεινὸν, ἢ πλατεῖς, ἢ στενοὺς, ἢ μακρὸς, ἢ βραχεῖς, ἢ ἀδρούς, ἢ ἰσχνούς, ἢ μεγάλους, ἢ μικροὺς ὀνομάζομεν. τίνες δὲ αἰτίαι ἡ γένεσιν αὐτῶν; ὥσπερ γὰρ εἰπεῖν προὔκειτο. πρόχειρον μὴν ἤτοι δυσκρασίαν ἀνώμαλον αἰτιᾶσθαι τοῦ ὀργάνου, ἢ διαστροφὴν ἐν τῇ θέσει. δ' ἔλεκται γὰρ ὅπως ἐν ταῖς τοιαύταις διαθέσεσιν αἱ κινήσεις ἀνώμαλοι φαίνονται. ἀλλ' ἐγὼ οὐ μὴν ὑψηλοὺς ἐν τε τοῖς θυμοῖς καὶ πρὸς τὴν κένσεων εὑρίσκω γινομένους, οὐδὲ πλατεῖς τοὐμπαλιν ἐν ταῖς κενεπικαῖς ἐκκενώσεσιν. οὐκ ἔτι δὲ δύναμαι δυσκρασίαν ὀργάνου ἢ διαστροφὴν θέσεως αἰτιᾶσθαι μόνας, γένοιτο γὰρ ἂν ποτε καὶ διὰ τί τούτων, ἀλλ' αἱ πλεῖσαι διαθέσεις ἐφ' ὧν οἱ τοιοῦτοι φαίνονται σφυγμοὶ τῶν εἰρημένων αἰτίων ἐκτὸς εἰσίν. ὅτε γὰρ ἀνωμαλία κράσεως, ἤγουν εἰς τοσοῦτο τὴν φύσιν ἐκβαλλόντα τὸ ὄργανον, ὡς ἀνωμάλους ἐργάσασθαι οὐς σφυγμοὺς, ἔθ' ἡ τοῦ θέσεως ἐξαλλαγὴ διώσαιτ' ἂν συστῶσα ποτὲ χωρὶς μεγάλης βλάβης, ἢ χρόνου μακροῦ, ὧν οὐδὲν ὅτε τοῖς θυμικοῖς, ὅτε τοῖς ἤδη κεκμηκόσιν, ὅτε οἷς οὐδ' ἐπὶ κενωθεῖσιν ὑπάρχει. ἀλλ' ἔστι τὸ γινόμενον ἐπ' αὐτῶν, τοιοῦτο. μείζονα τὸν σφυγμὸν ἐργάζεται τοῖς θυμουμένοις τε καὶ κενωθεῖσιν. οὐμὲν οὖν ὅσον γε μεῖζον τι γίγνεται, τοσοῦτον καὶ φαίνεται. τῇ μὲν γὰρ εἰς ὕψος κινήσει τε καὶ διαστολῇ ἡ ἀρτηρίας ὅσον προσέρχεται φαίνεται πᾶν, τῇ δ' εἰς τὸ πλάγιον, † τὸ πλεῖστον ἀφανίζεται, κατὰ τὸν αὐτὸν οἶμαι λόγον, καθ' ὃν καὶ τοῖς ἄνθρωποις ἐπιδιάστασίν τινος ὑγιαίνουσιν, ἀεὶ πλεονεκτεῖν ἐλάκιστον ἢ εἰς ὕψος κίνησις. μεμνημένοι τοιγαροῦν ἡ τότε κατασάσεως τῶν σφυγμῶν οὓς συμμέτρους ὀνομάζομεν, εἶτα νῦν εὑρίσκοντες ἱκανὸν μὲν εἰς ὕψος, οὐχ ἱκανὸν δ' εἰς πλάτος, ἀλλ' ἤτοι παντάπασιν ὀλίγον, ἢ οὐδὲν ὅλως ὑπεδεδώκεισαν τὴν κίνησιν, δικαίως ὑψηλοὺς ὀνομάζομεν οὓς τοιούτους σφυσμοὺς, εἰ μή τι καὶ τοῦ πλάτει σαφὲς πρὸς ἐναντίον, μεγάλους ἅμα καὶ ὑψηλοὺς καλοῦντες. εἰ δ' οὐδὲν ὅλως αἰσθητὸν ὑψηλοὺς μόνον εἰ δ' εἰς ἄμφω μὲν ηὐξήθησαν ὕψος τε καὶ πλάτος, οὐκ ἀξιόλογος δ' ἡ τοῦ ὕψος εἴη παρὰ τὸ πλάτος, ὑπερέχει, μεγάλους μόνον οὓς τοιούτους ὀνομάζομεν. ὅταν γὰρ ἐν ταυτῷ λόγῳ τὸ προσαυξόμενον ὕψος ὑπερέχῃ τοῦ πλάτους, ᾧ καὶν τοῦ κατὰ φύσιν ὑπερέχῃ, τὴν αὐτὴν ἰδέαν τοῦ συμμέτρου κληθῆναι διασώζειν ἀνάγκη τὸν νῦν γενόμενον. οὐκ οὖν ὑψηλὸς, ὥσπερ οὐδ' ἐκεῖνος, ἀλλὰ μείζων μόνον αὐτοῦ φαίνεται. τῶν γὰν ταυτὸν εἶδος διασωζόντων, οὐκ ἐνδέχεται τὸν μὲν σύμμετρον, τὸν δ' ὑψηλὸν καλεῖν. ἀλλ' ἔπερ πάντη κατὰ τὴν αὐτὴν ἀναλογίαν ὁ ἕτερος ηὐξήθη, μείζονα μόνον. καὶ γὰρ οὖν καὶ πρὸς τὸ μήκους ὡσαύτως ἔχει. κατὰ μὲν γὰρ τὴν αὐτὴν ἀναλογίαν καὶ ὅτε συναυξανόμενον τοῦ βάθει τε καὶ τοῦ πλάτει, τὸν ὅλον σφυγμὸν, ὡς ἤδη λέλεκται μείζονα φαίνεσθαι ποιεῖ. οὕτω ἴσως ἁπλῶς δεῖ τῶν ἐπαυξανομένων ἐν τοῖς τρισὶ διαστήμασι κινήσεων, ἀλλ' ἀναλόγου ἴσων, ἵν' ὁ σφυγμὸς μείζων γένηται. τοῖς οὖν εἰθισμένοις τῇ τοῦ κατὰ φύσιν ἀναλογίᾳ ῥᾳδίως τὸ

† al πλάτος

πρόσιμ, ὅσομ ἔξω τοῦ λόγου, γνωρίζεται. καὶ τοιαῦταί μὲν τίνες εἰσὶμ αἱ γμώσεις τῶν προκειμένων σφυγμῶν. ὀξῆς δ' ἂν εἴη τὰς αἰτίας εἰπεῖμ, δι' ἃς ἡ σώζεσθαι τὴν ψυσικὴν ἀναλογίαν ἐπ' αὐτῶν, ἢ διαφθείρεσθαι πέφυκε. σώζεται μὲν ὅταν μήτε μία μεγάλη τοῦ ἥπ φύσιμ εἰς πολυχερκίαν, ἢ λεπτότητα ἢ ἕξεως γμύηται μεταβολή, ἀλλὰ μηδὲ ξηρότης ἄμετρος, ἢ ὑγρότης, ἢ τὶς ἀνάγκη μεγάλη ἐκάστης διαφορᾶς. φθείρεται δὲ καὶ συγχεῖται διά τι τούτων παρόμ, οἷομ αὐτίκα, τὰ μὲν ἄλλα πάντα καλῶς ἐχέτω. μεγάλη δ' οὕτως ἡ δύναμις ἐπιγένεται ποιήσασθαι διαφοράν, ὡς μὴ χωρεῖσθαι τὸμ ὄγκομ αὐτ' ὑπὸ τῶν προϊεχουσῶν τὰς ἀρτηρίας χωρῶν. ἀνάγκη γὰρ ἐν τῇ τοιαύτῃ κατασάσει τοῦ σφυγμοῦ ὑψηλὸν φανῆναι, καὶ μηδὲν τῶν ἄλλων ἔχης μέτρα. ἄχρι γὰρ ἂν εἰς τοσοῦτομ αἴρηται μέγεθος ἡ διαφορὰ ἢ ἀρτηρίας, ὡς μηδέπω σχοχωρεῖσθαι μηδαμοῦ, τὴν ἥπ φύσιμ ἐν τοῖς τρισὶ κατασήμασι ἀναλογίαν ἀσφάλλει. σχοχωρηθεῖσα δὲ τοῦτον τὸν κατ' ἐκείνην τὴν διάσασιν ἀφεῖλεν, ὅσομ ἔτυχε κωλυθεῖσα τὸ πρόσω. διὰ τοῦτο τοῖς θυμουμένοις, καὶ μέτρομ ἔχουσι τὸ ἕξιμ, ὁ σφυγμὸς ὑψηλὸς γίνεται. τὸ γὰρ ἢ διαφορᾶς ἐχάτης ἄμετρομ, οὐδ' ἡ τοιαύτη πέφυκεν ἕξις ἀλύπως ἀνέχεσθαι, ἀλλ' ἠδὴ θλίβεται κάτωθέν τε διὰ τὴν πλαγίων ἡ ἀρτηρία. μόνομ δὲ ὅσομ γυμνὸν αὐτῆς ὑπὸ τὴν ὀφρύα, τὴν ὀφρύα ἅπασαν ἐκδέχεται, ὅταν δ' ἐν τοῖς ἄλλοις μὲν ἅπασιν ἡ διαφορὰ λωλυθῇ, τὸ δ' ἄνω μόνομ αὐτῆς ἀπαραπόδιστομ φυλαχθῇ, πλεονεκτεῖν ἀνάγκη τὴν ἄλλων, τὴν κατ' ἐκεῖνο κίνησιν. ὅπερ ἦν οὐδὲν ἄλλο, ἢ ὑψηλὸς σφυγμός. ἐπεὶ δὲ τοῖς θ' ὑγιαίνουσιν ἅπασι καὶ τὴν νοσούτων τοῖς πλείοσις ταῖς μεγίσαις διαφοραῖς τῶν ὡς πολῆς ἀρτηριῶν ὧν ἁπόμεθα, τὰ μὲν ἄλλα πάντα μόρια θλίβεταί τε καὶ σχοχωρεῖται, καὶ κωλύει τὰς καθ' αὐτὰ κινήσεις, τὰ δ' εἰς ὕψος ἀνέχοντα μόρια πάσαν ἐλευθερίαν τε καὶ ἀπαραπόδιστομ ὑπομένει τὴν διαφοράν, διὰ τοῦτο καὶ τοῖς ἰατροῖς τετήρηται τε καὶ γέγραπται τὴν θυμουμένων σφυγμὸς ὑψηλός. ἢ γὰρ ὀκ εἶδον τὸ πάθος, ἢ ἀμελῶς εἶδον, ἢ τοῦτομ οἰκεῖομ ὁμοίως ἑκάστου τῶν παθῶν σφυγμόμ, ὃμ ἅπαντες ἴσασιν ἀκριβοῦντα αὐτοῖς ἑώρων πλειάκις. εἰσὶ δ' οἳ καὶ σιωπῶσιν ἐῶντες τὸ πάθος, ὅταν ἀπορῶσι τῆς αἰτίας, ἀλλὰ τοῦτό μὲν ἔνια καὶ μέμφαιτό τις αὐτοῖς, τὴν ἄλλων ἁπάντων συγγνώμη νέμας. μόρια γὰρ οὕτως ἄξια γινώσκεσθαι, πάθος ἀγνοηθήσεται. χρὴ δὲ τὴν ἀληθείας ἐρασὴν ἅπαν ἀκριβῶς τὸ φανὲν ἐκλιπαρεῖσθαι καὶ ἀκριβῆ τὴν αἰτίας. τί δ' ἂν τὸ φαινόμενον ᾖ; πολλοῖς τὴν ἰσχνὸν καὶ οὐ πάνυ τὴν δυνάμιν ῥωστικοὶ σφυγμοὶ θυμουμένοις, μεγάλοι μέν, οὐκέτι δὲ καὶ ὑψηλοὶ φαίνονται. τίς γοῦν καὶ ἡ τοῦδε αἰτίας οὐδὲ γὰρ οὐδὲ πόρρω που τὴν ἐξ ἀρχῆς ὑπάρχειν ἐοικὸν ὑπάρχειν, εἴγε δή τὴν ῥώμην τὴν δυνάμεως τηλικαύτην ἐλέγομεν εἶναι δεῖν ἐν τοῖς ὑψηλοῖς σφυγμοῖς, ὡς δυνατὸν μὲν ὀργάσασθαι μεγίσην διαφοράν, μὴ χωρεῖσθαι δὲ ὑπὸ τῶν προϊεχουσῶν τὰς ἀρτηρίας χωρῶν. εἰ γὰρ ὅτι, παντάπου δῆλομ ὡς ἐν ταῖς προειρημέναις διαθέσεσιν, οὐκ ἐγχωρεῖ γίνεσθαι τὸ σφυγμὸν ὑψηλόν, μήτε τῆς δυνάμεως ὀρωσούσης καὶ τὴν πρὸς τὰς ἀρτηρίας χωρῶν εὐρυτάτην, διὰ τὴν ἕκτησιν γεγυμνωμένων. ἐπεὶ δὲ καὶ ὅτι θᾶτομ ἡ κατὰ τὴν προθυμίαν εὕρηται, δῆλομ οἶμαι σὺν αὐτῷ καὶ τὸ τὴν πλατέων γεγυμνῶσθαι σφυγμῶν. ὁπόταν γὰρ ἀπολείπηταί πως ἡ δύναμις τῆς κατὰ φύσιν εὐρωσίας, ὀρύτης δ' ἀξιόλογος ἡ χωρῶν, προσγίνηται δέ τι βάρος ἐκ τῶν ἄνωθεν μορῶν ταῖς ἀρτηρίαις, πλατύτερος ὁ τοιοῦτος σφυγμὸς φαίνεται τοῦ συμμέτρου παραβαλλόμενος. τὸ δὲ βάρος ὅτι τὸ προσγινόμενον, πολλάκις μὲν ἡ τοῦ ὁρματος ὄγκου αὐτοῦ ῥυσότης, ὥσπερ ὑδὶ τῶν γερόντων ἔχει, καὶ τὴν ἰσχνὸν μὲν, οὐ μὴν τῶν κατεξηραμένων γε τῷ ἕξιμ, ἐξ οὗ ῥηγμοὺς εἰσὶ οἱ διακειμένοι πρόσφατος. πολλάκις δὲ δι' ὑγρότητα, καὶ μᾶλλον ὅταν αὐτὰ τὰ σώματα τῶν ἀρτηρίων γεγύμνηται διάβροχα, καθάπερ ἐν τοῖς ὑδρωποις. καταῤῥεῖ γὰρ αὐτῶν τὰ ἐπ' ἄκρου τοῦ ὕψους τεταγμένα μόρια, καὶ φορεῖται κάτω, τὰ μὲν εἰς αὐτὴν τῶν ἀρτηριῶν τὴν ποιλότητα, τὰ δ' εἰς τὰ πλάγια. τοσοῦτον οὖν ἀνάγκη ἢ εἰς ὕψος ἀνόδου κωλύεσθαι τὸν σφυγμὸν, ὅσομ ὑπερῆρκε κάτω τὸ νᾶτον τῆς ἀρτηρίας. καὶ δὴ καὶ πλεονεκτεῖν διχόθεν ἀναγκαῖον ἤδη τὸ πλάτος, ἔκ τε τῶν εἰς τὰ πλάγια παρατεινόντων τῆς ἀρτηρίας μορῶν θλιβόντων τε καὶ διὰ ὅσον πλατυνόντων τὰ κάτω, κἀξ ὧν αὐτὸ τὸ ὕψος ἐφθανε ποιεῖσθαι. ἤρκει δ' οἶμαι καὶ θάτερομ αὐτῶν τὸν σφυγμὸν ἀφῆναι πλατὺν ἢ μειωθὲν τὸ ὕψος, ἢ αὐξηθὲν τὸ πλάτος. ἐπεί δ' ἄμφω συμπέπτωκε, διὰ τοῦτ' ἀναργὴς καὶ ἀξιόλογος ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ πλατύτης ἐμφαίνεται. πῶς οὖν ὁ μακρὸς καλούμενος γίνεται σφυγμός; εὑρίσκεται γάρ πού τε τοῖς μὲν τένασι λακτύλοις ἡ κίνησις ὑπολειπουσα, σχολὴ μέν τοι καὶ ἀμαυρὰ εἰς τοσοῦτον ὡς χρόνου ἔμφασιν εἶναι λεπτῆς, ἢ καὶ τοῦτο χαλεπὸν οὐδὲν ἐξευρεῖν ἐξ αὐτῶν ὧν εἴπομεν ὁρμωμένους. εἴτε γὰρ οἷομ ἰσχνῆς τινὸς χορδῆς, εἴτε οἷομ τριχὸς ἡ πρόσβολὴ φαίνοιτο, σκληρότης ἐξ αὐτοῦ τούτου μεγάλη τὴς ἐμφαίνεται τοῦ χιτῶνος τῶν ἀρτηριῶν. ἀλλ' οὐ μόνη. οὕτω μὲν γὰρ ἂν σκληρὸς ἁπλῶς ἦν ὁ σφυγμός. ἐπεὶ δὲ καὶ σχνὸς καὶ ταπεινός ὐστιν, ἀναγκαῖον ἀῤῥωστοτέραν εἶναι τὴν δύναμιν, ἢ ὥστε διασείειν βιαίως ὑπὸ σκληρότητος ὀργάνων. τί δ' οὖν εἰ τοῦτ' ὐστὶν ἀληθές, οὐχὶ καὶ βραχὺς σύθεως ὁ τοιοῦτος γίνεται σφυγμός; ἢ καὶ τούτου τὴν αἰτίαν εὑρήσομεν, ἀναμνήσαντες τὰς διαθέσεις ἐφ' ὧν οἱ τοιοῦτον γίνονται σφυγμοί. τίνες δ' αἱ διαθέσεις; ἡ μὲν ἕξις τοῦ σώματος λεπτή, πορώδεστερον δὲ καὶ ξηρότερόν πως τὸ ὁρμα. εἰπὸν οὖν τὸ χαλαρὸν ἅμα καὶ παχὺ κατακρύπτει πολὺ τῆς κινήσεως, τὸ λεπτὸν καὶ τετανύον ἀκριβῶς ἅπαν διασώζει. καὶ δῆλον ἤδη γέγονεν, ὡς χρὴ σωζεσθαι λεπτότητα μὲν ὅλης τῆς ἕξεως, ξηρότητα δὲ τοῦ ὁρματος, σκληρότητα δὲ τῶν ὀργάνων, ἀῤῥωστίαν δὲ τῆς δυνάμεως, ἀλλ' ὀκ ἐχάτων. ἄσφυκτος γὰρ ἂν ἄτως ἦν ὁ ἄνθρωπος, ὁ μακρόσφυκτος. ὁ δ' ὅλως γε ἐς ἀοδητὸν ἐξαίρει κίνησιν, ἡ παντελῶς ἐκλελυμένη δύναμις, μὴ ὅτι τὸ σκληρὸν ἀγχέου, ἀλλ' ὁδὲ τὸ μαλακόν. ὁ μὴν ὄντως μακρὸς σφυγμὸς ἥπ ἐξοχλοῦντα ποιεῖται τόνον, λεπτὸς δ' αὐτῷ ὁ ἰσχνός, ὄνομα, τὸ γε ἴδιον ὁδ' ἁπλῶς ἡ κυρίως μακρὸς, ὃ μὴ σωεπινοεῖται τῷ ἑτέρῳ δυοῖν διαστάσεων τὸ ποσὸν, ἤτοι διὰ λεπτότητα τῷ σώματος, ἢ δι' οἰκεῖον μέγεθος ἀρτηλεῖται τοιοῦτος. ὁ δὲ δι' ἡ βραχὺς, ὅταν καθ' ὁτιοῦν μόριον μικρὸν ἡ ἀρτηρία μόνῳ τοῦ ὁρματι σκέπηται. τὸ δ' ἑκατέρωθεν ἐκείνου πᾶν ὠθεῖται ἀθρόως εἰς τὸ βάθος, δύνῃ. τὸ γὰρ ἀνάγκη ὑδὶ πολῆς μόριον αὐτῆς τὸ τοῦ τοῦ ὁρματι, σαφῆ τὴν κίνησιν ἅπασαν ἐν δείκνυσθαι, τὰ δ' ἐν τοῦ βάθει,

βάθει, πολλῷ ἐπιπωδῶν ὄντων σωμάτων καταπεύπλεσθαι. ὅσον δὲ φύσει μὲν πολλοῖς ὑπάρχει, κατὰ διαθέσεις μέν τοι νοσώδεις ὀλίγοις, ὅταν ἐν τῇ διαθέσει διαφορή τις τῆς ἀρτηρίας γένηται, καὶ μικρὸν μὲν ὑπόφανὲς αὐτῆς ἢ μόριον, τὰ δ' ἄλλα πάντα πρὸς τὸ βάθος ἔσω καταπαπαθῇ. ἔστι δὲ καὶ ὁ τοιοῦτος σφυγμὸς τῶν κατ' ὀξυχολίαν λεγομένων βραχέων, ἐπεὶ τό γ' ἴδιον ὄνομα καὶ τοῦδε παχὺς καὶ ἀθρόος. ὁ δ' ἁπλῶς βραχύς, ἢ πολυσαρκίας ἢ μικρότητος ἕνεκος ὑπάρχει. εἴρηται μοι σχεδὸν ὑπὲρ ἁπάντων ἤδη τῶν ἀνωμαλίαν ὀργαζομένων αὐτῶν, εἰ γάρ τι παραλέλειπται μικρόν, οὐδὲν ἂν εἴη χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν. Περὶ δὲ τῶν ἀτάκτων τε καὶ τεταγμένων ἤδη ῥητέον. ἐπεὶ τοίνυν ἀνώμαλοι πάντες εἰσὶν οἱ τοιοῦτοι σφυγμοί, καθάπερ καὶ ἐν τοῖς πρόσθεν διαφορᾶς αὐτῶν δεδήλωται, διαλάβωσι δὲ, ὅσοι μὲν ἐν πρόσοδοις τισὶ διασώζειν τὴν ἰσότητα, σπάνιοι δὲ πάντη συγχέειν, ἐν κοινῷ πᾶσι πάντων αὐτῶν βραχεῖ τόδε χρὴ διαγινώσκειν. ὡς τῶν αἰτίας ἥτις ἂν ἑκάστοτε τὴν ἀνωμαλίαν εἰργάζηται, ἐσκεψυμένης μὲν ἐν τοῖς τεταγμένοις, ἀσκέπτου δ' ἐν τοῖς ἀτάκτοις ἅπασι. καὶ μὲν δὴ καὶ τῶν φύσεως εἶπερ τι ἄλλο καὶ ἡ τάξις οἰκεῖον, ὥσπερ ὂν καὶ ἡ ὁμαλότης. ἐὰν δὲν θάτερον αὐτῶν συγχυθῇ, μικρότερον ἐνδείκνυται τὸν βλάβην, ἐὰν δ' ἄμφω, μείζονα, συγχεῖται δ' ἄμφω μὲν ἐν τοῖς ἀτάκτοις. θάτερον δ' ἐν τοῖς τεταγμένοις μὲν, ἀνωμάλοις δὲ δηλονότι. Τὰ δ' ἐν ταῖς τῶν ῥυθμῶν ἀλλαγαῖς ἄπτα. ταῦτα γὰρ ὑπόλοιπα διελθεῖν, οὐ χαλεπῶς ἂν οὐδ' αὐτά τις εὑρίσκοι τῶν ἐξ ἀρχῆς ἐχόμενος. εἴπερ γὰρ ὀρθῶς ἡμῖν ἀποδέδεκται, τῇ μὲν τὰς διαστολὰς τῶν ἀρτηριῶν ἕλκεσθαί πως ἀδρώδεις οὐσίας, κατὰ δὲ τὰς συστολὰς ἐκπίνεσθαι τὸ περιττῶδες, ἢ οἷον καπνώδες ἐκ τῆς ὑγρᾶς συγκαύσεως, ἀναγκαῖον ἔσται. ἐν μὲν τῇ διαστέλλεσθαι χρείας ἐπεγούσης, μείζω τε καὶ θάττω γίνεσθαι τὴν διαστολὴν, ἐν δὲ τῇ συστέλλεσθαι τὴν συστολήν. τοῦτ' ἄρα καὶ τῶν ἡλικιῶν ἐν αἷς μὲν πλείστη ἀπάντων ὑγρότης, αὗται δ' εἰσὶν αἱ μέχρι τῆς ἀκμῆς, ἐν ταύταις μὲν ὀλίγου ἀπολείπεται ἡ διαστολὴ τῆς συστολῆς. ἐν αἷς δ' ἐλαχίστη, ἔνθα δ' ἐν ταῖς πρεσβυτικαῖς γίνεται, παρὰ πολὺ πλείων ἐν ταύτῃ ὁ τῆς συστολῆς ὄγκος τῆς διαστολῆς. εἰ γάρ τοι καθ' ὅλον τὸ σῶμα διαπνοὴ, τῆς συστολῆς τῶν ἀρτηριῶν ὄγκον ὄγκῳ. ἐν μὲν γὰρ ταῖς διαστολαῖς ἕλκουσιν εἰς ἑαυτάς, ὥσπερ ὂν δι' αὐτῶν ἅπαντων σωμάτων, ὅτῳ καὶ διὰ τῶν εἰς τὸ διάρμα πεφαιουμένων. οὕνεκα ἐκκένεται τι τῶν ἐκ τοῦ σώματος, ἀλλ' ἔσω μᾶλλον πάντως ἕλκει. ἐν δ' αὐταῖς ταῖς συστολαῖς ἔμπαλιν, ἐκκένεται μὲν, ἕλκεται δ' οὐδέν. ὅπερ δ' ἐν αἷς ἡλικίαις οὐκ εἰς τὸ τρέφεσθαι μόνον, ἀλλὰ καὶ εἰς τὸ αὔξεσθαι κατεργάζεται τοὺς χυμοὺς ἡ φύσις, ἐν ταύταις ἀνάγκη τὰ πολυσώματα πλέω γίνεσθαι, πρόδηλον ὅτιν. ἀναλογον γὰρ ἀεὶ τοσῷδε τῶν κατεργαζομένων χυμῶν, τοσοῦτον ὅτι τὰ πολυσώματος. ἐνθα δὲν ἡ πλείστη κατεργασία, πλεῖστον ἐνταῦθα καὶ τὸ πυρίσωμα. ἐνθα δ' ἂν πλεῖστον πυρίσωμα συνεχοῦς τε ἅμα τούτῳ καὶ πολλῆς δίητης τῆς ἐκείνοις, ὥσπερ οἶμαι καὶ ἐν τοῖς κατὰ τὴν γαστρός τε καὶ τὴν κύστιν ἔχει πολυσώμασιν, ἀλλὰ τὰς μὴ τότων ἐκείνοις ταῖς διαθήκαις διαγινώσκομεν, τὰς δὲ τῶν ταῖς ἀρτηρίαις ὁ λόγος ἀξυδείκνει. καὶ οὐκ οἶδ' εἴπερ, ἢ οὐ καὶ διὰ τῆς ἐκτὸς ὑπαφανείας ὁμολογήσει κανοῦν θάτερον τὰς ἀρτηρίας, ἢ ὅ καθ' ὃν εἴπομεν τρόπον. ἀκριβεστάτη δ' εἰς ὅσον ἐχέτω ἑαυτῶν ἐν τῷ περὶ χρείας σφυγμῶν. εἰς δὲ τὸν παρόντα λόγον ἀρκεῖ καὶ τὰ νῦν εἰρημένα.

# ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ
## ΣΦΥΓΜΩΝ. ΒΙΒΛΙΟΝ γ'.

Τὰς μὲν ἐκ τῶν πρώτων τε καὶ κυριωτάτων αἰτίων ἀλλοιώσεις τῶν σφυγμῶν, ὁ πρόσθεν λόγος αὐτάρκως ἐξηγήσατο, τὰς δ' ἐκ τῶν ἄλλων ἁπάντων, ὅσαι μὴ δι' ἑαυτῶν αὐτάρκεις, ἀλλὰ διὰ τὰ πρῶτα πρέπειν αἴτια σφυγμῶν λέγεται, νῦν ἐπέξιμεν. ἐπεὶ δὲ τούτων τὰ μὲν, ὅτι παρὰ φύσιν, τὰ δὲ, κατὰ φύσιν, τὰ δ' ἐν μεταξὺ τούτων ἄμφω δηλοῖ καὶ οὐ φύσει καλοῦσι. σύλλογον ἀπὸ τῶν κατὰ φύσιν ἀρξάσθαι, καὶ τάξιν γε τὴν αὐτὴν ὑπὲρ τῶν εἰρημένων ἀνάγκη φυλάττειν ἐν τῷ λόγῳ, ἥνπερ καὶ διὰ τοῖς εἰσαγομένοις γεγραμμένῳ πεποιήμεθα, τά τε γὰρ ἄλλα, καὶ γένοιτ' ἂν ἐξήγησις ἅμα τῶν ὀρθῶς ἐν αὐτῷ λεγομένων, ἐνδειξίς τε τῶν σύλλογος παρὰ λελειμμένων. παραλέλειπται μὲν δὲ τὰ μὲν ὅλως, τὰ δ' ἐν διωρήσασθαι. πᾶν γὰρ ὅσον ἐμελλον ἀσαφὲς ἔσεσθαι τοῖς ἀρχομένοις τῆς θεωρίας, ἐσθένει χρῶμαι παραλιπεῖν. παραλέλειπται δ' οὐχ ἥκιστα καὶ ὁ τῆς αἰτίας λογισμός. ἄμεινον γὰρ ἦν, τοῖς εἰσαγομένοις ἐπ' αὐτῶν τῶν ὀργάνων γυμνάζεσθαι πρότερον ἐμπειρικῶς, ἔπειθ' ὕστερον ἅπασαν ἐκδιδαχθῆναι τοῦ λόγου τὴν ἰσχὺν καὶ τὴν πράγματος. ὡς τοίνυν γεγυμνασμένοις αὐτοῖς καὶ μαθοῦσι τὸ τελεώτερον λόγου δυναμένοις, ἥδε ἡ πραγματεία συγκεῖσθαι, διὰ μὲν τῶν πρότερον δυοῖν ὑπομνημάτων, εἰς ὅσον αὐτάρκους, ὑπὲρ τῶν συνεκτικῶν ὀνομαζομένων αἰτίων διαλεχθεῖσα, διὰ δ' αὐτῶν λοιπῶν δυοῖν, τούτου τε καὶ μετ' αὐτόν, περὶ τῶν ἄλλων ἁπάντων ἐκδιδάξουσα. ἀρκτέον δὲ ἤδη τοῦ λόγου πρὸς χειριζομένους ἑκάστων ἡμῖν τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων. ἔπειτ' ἐξηγουμένους. εἰκὸς δ' ἂν ἡ πρώτη τῶν εἰς τὸν παρόντα λόγον ἐπειτηδείων, ἥδε. ἄνδρος μὲν οὖν γυναικὸς ὡς ἐπίπαν μείζονα πολλῷ, καὶ σφοδρότερον ὡσαύτως πολλῷ, καὶ βραδύτερον ὀλίγῳ, καὶ ἀραιότερον ἱκανῶς τὸν σφυγμὸν ἔχουσιν. ἡ μὲν λέξις αὕτη. καὶ διότι πρῶτος οὗτος ὁ λόγος ἐπειτηδειότερος τοῦ λεχθῆναι, διὰ ἐκείνου τοῦ γράμματος δεδήλωται. ὡς οἱ γὰρ ἔθος ἡμῖν πρὸς τῶν αὐτῶν γράφειν πολλάκις, ὑπὲρ τὰς αἰτίας εἰτεῖν ἤδη, καὶ δεικτέον τὴν ἀνάγκην τῆς φύσεως τοῦ πράγματος, διὰ ἣν οὕτω μὲν ἀνδράσιν, οὕτω δὲ γυναιξὶν ἔχει τὰ κατὰ τοὺς σφυγμούς. ᾧ δ' οὖν. ἐπειδὴ θερμότερον ὂν καὶ ξηρότερον τὸ ἄῤῥεν τοῦ θήλεος, ὡς καὶ τοῖς ἀείοις τῶν ἐμπροσθεν ἰατρῶν τε καὶ φιλοσόφων εἴρηται, καὶ ἡμῖν δὲ διὰ τέτορων ἀποδέδεικται, τήν τε χρείαν ἀναγκαῖον ἦναι τῆς τῶν σφυγμῶν γενέσεως, καὶ τὴν τῶν ὀργάνων κατασκευὴν ἑτοίμως ἔχειν αὐτοῖς. εἰ δὲ ἔστιν, καὶ αὐτὸς

τοὺς σφυγμούς. ἐν ἐλέχθη γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις, ὡς πλήθει θερμασίας οἰκείᾳ δύναμις ὁ μέγας σφυγμός ἐστιν· οὗ θερμότερον τὸ ἀρτηρίᾳ τοῦ θήλεος, σύθυς ἂν καὶ μείζους ἔχει τοὺς σφυγμούς. καὶ εἰ πολλῷ θερμότερον πολλῷ μείζους. ἀλλὰ μὴν καὶ θερμότερον, καὶ πολλῷ θερμότερον ὄντι, ὥστε καὶ μείζους καὶ πολλῷ μείζους ἕξει τοὺς σφυγμούς. ἀλλ' ὅτι μὲν θερμότερον, ἔκ τε τῶν πρὸ ὀλίγου γεγραμμένων, καὶ τῶν ἐπὶ πρότερον τοῖς παλαιοῖς εἰρημένων, αὐτάρκως ἀποδέδεικται. ὅτι δὲ καὶ πολλῷ, τοῦτ' οὐκέτι οὔτε ἡμεῖς, οὔτε ἄλλος τις ἀπέδειξε. νῦν οὖν ἀποδεικνύω, ἢ οὐδ' ἐπὶ τοσόνδε σύμπας λόγος. πρῶτον μὲν ἀναμνησθῆναι χρὴ τοῦ προκειμένου τῇ λέξει, καὶ πᾶσαν αὐτὴν ἀναγνῶναι καθ' ἕκαστον ὄνομα προσέχοντα τὸν νοῦν. τί γάρ φησιν, ἄνδρες μὲν δὴ γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ τὸν σφυγμὸν ἔχουσι. τί δ' ἦν τοῦτ' ὄφελος, τὸ ἐπίπαν ἐπιμελῶς χρὴ διασκέψασθαι. οὐ γὰρ δὴ μάτην γε πρόσκειται, ἀλλ' ἔστιν ᾧ καθεξῆς τὸ πᾶν κῦρος τοῦ λόγου ἔχει γάρ μήτε ἐξ ἀρχῆς σύθυς ὡσαύτως ἅπαντας ἡμᾶς διεκρᾶναι, μήτ' ὀδυνηθέντας, μήτε διαίταις ὁμοίαις διεχρῆσαι, τὸ καθόλου δὲ ἀφάσεως διαφθείρεται, διαμαθόντος ποτὲ γυναικὸς εὑρεθῆναι, μὴ ὅτι πολλῷ μικρότερον, ἀλλὰ μὴ δὲ μικρὸν ὅλως, μὴ δὲ ἴσον, ἀλλὰ καὶ σαφῶς μείζονα τινῶν ἀνδρῶν ἔχουσης τὸν σφυγμόν. ἀνδρὸς γὰρ μοι νόει φλεγματικώτερον φύσει, ψυχρὰ δ' ἂν ἥδε κράσις εἴη καὶ ὑγρά, παραβαλλομένη γυναικὶ χολωδεστέρᾳ φύσει, τοιᾷδε ἔσι θερμοτέρᾳ τε καὶ ξηροτέρᾳ. ἀρκείτω δὲ μὴ τοῦτο μόνον, ἀλλ' ὁ μὲν, τὴν πόνῳ. ἡ δὲ, τῷ ἀγυμνάστῳ ἐποικείτω, καὶ σκιατροφείσθω μὲν καὶ ἀργείτω, καὶ διατιθρύφθω κατὰ τὸν δίαιταν ὁ ἀνήρ. θηραυλείτω δ' ἡ γυνὴ, καὶ γυμναζέσθω πολλὰ, καὶ μετρίως διαιτάσθω. μείζων ὁ δὴ τοιαύτης γυναικὸς, ἢ ὁ τ' ἀνδρὸς ἔσαι σφυγμός. ἀλλ' ἐὰν ὦ τῇ φύσει διαιτώμενον ἑκάτερον φυλάξῃς, καὶ τὴν οἰκείαν κράσιν ἐξ ἀρχῆς διεκραμένων, ἔνι τε χωρεῖν καὶ ταύτῳ χρώμενον, οὐ μείζω μόνον, ἀλλὰ καὶ πολὺ μείζω, ὁ τοῦ πιοῦτος ἀνδρὸς σφυγμὸς γένοιτ' ἄν. ὅσον μὴ γὰρ ὑπὸ τῇ φυσικῇ κράσει μείζων ἁπλῶς, οὐ μὴν πολλῷ μείζων γένοιτ' ἄν. ἐπεὶ δὲ τὸ ἀκρότατον τῶν οἰκείων ὑπερβολῶν ἑκατέρῳ προσέρχεται διάφορον, ἡ μὲν γὰρ ἀταλαίπωρον, ὁ δὲ, ὑπὸ πόνοις πλείοσι διαιτάτῃ, πολὺ δή τι θερμότερος ὁ ἀνὴρ οὕτω γίνεται καὶ διὰ ταῦτα τοὺς σφυγμοὺς πολλῷ μείζους ἴσχει τῆς γυναικός. προσκειται δὲ, τὸ ἐπίπαν, ᾧ τῇ ῥήσει τῆς συφυεστέρας τῶν εἰσαγομένων οἷον κέντρον τι διεγεῖρον τε καὶ παροξῦνον ἐδύνατο ἀπάσης τὸ πράγματος ἡ φύσεως. σύθυς γὰρ ἡ πρὸς ἡ τῇ φύσιν ᾧ ἀνδρὶ ἡ γυναικὶ διαφορᾶς γνωσόμενοί τε, καὶ πᾶν ὑπολείψουσιν, τὸ μὴ πάντα ζῶα γένος ἄῤῥεν ὡς ἰσχυρότερον δεῖν τοῦ θήλεος. ἡ ὡς ἔοικε μὴ θηλύ, τὸ κύειν τε ἡ θηλάζειν ἡ ὅλως ἐκβάλλειν τὰ γεννηθέντα ἡ φύσιν. τῷ δ' ἄῤῥενι, τό τε βοηθὸς ἐκποδίζειν αὐτοῖς ἐπιβουλεύοντας ἐξ ὧν εἰώθει τὸν μὲν ὡς ἄῤῥενος ἀεὶ πρὸς θῆλυ διαφοράν, μείζονας ἁπλῶς τοὺς σφυγμοὺς ὀργαζομένην, τὸν δ' ὡς ἀνδρὸς πρὸς γυναῖκα πολλῷ μείζονας. ὅτω δὲ ἡ σφοδρότερος μὲν ἁπλῶς ὅσον ἀπὸ τῇ φύσει τοῦ ἄῤῥένων σφυγμός, πολὺ μέν τοι σφοδρότερος τοῦ τῶν ἀνδρῶν παρὰ τὰς γυναῖκας, ὅτι τοῖς μὲν αὐξάνεσθαι τὸν φυσικὸν πόνον ἐν τοῖς πόνοις ἀνάγκη, ταῖς δ' ἀργούσαις, ἐκλύεσθαι. εἰ δὲ καὶ μηδὲν τούτων αὐτός τις ἐξ ὑπάρχου σαφῶς, ἀλλ' εἰς ὑπόνοιάν γε αὐτῶν. ἀφίκοιτ' ἂν ζητῶν, ἢ τοὐλάχιστόν γε οἷον διϊὼν ὧν ἀπόθυμεῖ μὲν εὑρεῖν, οὐδέπω δ' εὕρηκεν, ἀπὸ τῆς διδάξαι δυνάμενον ἀφικόμενος, τάχιστά τε ἂν οὕτω μάθοι, καὶ μάλιστα μνημονεύσειεν. ἀλλὰ ταῦτα μὲν οὕτως ἡ δὲ ῥώμη δ' δυνάμεως ἡ τοῖς ἄῤῥεσι ὑπαρχει, δοκεῖ ἄντι καὶ αὐτὴ τοῖς σφυγμοῖς μεγέθους. ὡς οὐ μόνον διὰ τὸ πλῆθος δ' θερμασίας, ἀλλὰ καὶ διὰ τὴν ῥώμην, οἱ τῶν ἄῤῥένων σφυγμοὶ μείζους γίνονται. διέδεικται γὰρ οὖν καὶ τοῦτ' ἐν τοῖς πρώτῳ λόγῳ, τὸ ταῖς δυρώσεσι διαπαλμοῖσι τοὺς μεγάλους σφυγμοὺς οἰκείους ὑπάρχειν. ἆρ' οὖν τούτῳ μόνον ἀνδρὸς γυναικὸς εἰς σφυγμῶν ἀπίας διαλλάττουσιν; ἢ καὶ τὸ ποδὶ δ' ἕξεως τοῦ σώματος τοῖς ἑκατέροις πάμπολυ προσέρχεται. τοῖς μὲν γὰρ ὅλον σῶμα δύπνοόν τε καὶ καθαρόν, καὶ ἀπόριπτον, καὶ ἄθλιπτον. ταῖς δὲ τἀναντία, σφὰς μὲν αὖ μεταξὺ τῶν ἀγγείων χῶραι, πιμελὴς αὐτῆς καὶ σαρκὸς μαλακῆς, καὶ τίνων φλεγματωδῶν πορισμάτων καταλαμβανόντων, πυκνόν τε τὲ καὶ δύσπνοον τὸ σῶμα, καὶ τίνες συσάσεις πολλαχόθι τοῦ σώματος ἀργοῦ καὶ παχέος καὶ ἀπέπτου ὑγροῦ, ὑφ' ὧν ἁπάντων θλίβεσθαί τε καὶ συνοχωρεῖσθαι τὰς ἀρτηρίας αὐτῶν ἀναγκαῖον, ὅσας καὶ φύσει πολὺ τοῖς ὄγκοις ἐλάττους. ὥσε πάντα πάντοθεν εἰς μικρότητα σφυγμῶν αὐτοῖς παρασκευάσασθαι τῷ ἔθει. ἃ δὲ μόνον εἰς τὸ μεγεθος ὠφέλιμον ἔχουσαν τὴν μαλακότητα τῶν ὀργάνων, δέον δὲ ἀπὸ ταύτης ὀνίνασθαι. πρῶτον μὲν ὅτι πλέω τε καὶ ἰσχυρότερα τὰ ἡ μικρότητος αἰτία γίνεται δεύτερον δ' ὅτι πολλὴ μὲν ἡ παρ' ἐκείνοις διαφορὰ τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας. ἐλαχίση δ' ἡ διὰ τὴν μαλακότητα τῶν ὀργάνων. οὐ γὰρ οὕτω ξηρότερον λέγεται τὸ τῶν ἀνδρῶν σῶμα, τοῖς τῶν γυναικῶν παραβαλλόμενον, ὡς ἂν εἰ τύχοι λίθου τις ἢ κηλοῦ ξηρότερος. οὐδ' ἂν εὕροις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἀρτηριῶν πολλῷ τῷ ὑποροχλῷ, ἀλλὰ καὶ τὸ τῶν ἀνδρῶν ὄργανον, οὕτως ἔχει κατασκευῇ ὡς δυπειθὲς εἶναι πρὸς τὴν ῥῆξιν. εἰ δὲ καὶ μεγάλη τις ἦν ὑποροχὴ, καὶ πολλῷ τὸ ἡ γυναικὸς ὄργανον ὑπῆρχε μαλακώτερον, αὐτὸ δὴ τοῦτο μικροτέρους ἂν εἰργάσατο τοὺς σφυγμούς. ᾔδη μὲν γὰρ οὐδὲν ὅτι τὸ βαρυῶδες, ἢ θλιβερὸν, ἢ συνοχωρούμενον, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον, ὠθήσειότερον εἰς μεγεθος διασολῆς. ᾔδη δ', ὡς ἔμπροσθεν ὠθῆς γυναικείας ἕξεως ἐῤῥήθη, τὰ θλίβοντα καὶ βαρύοντα καὶ συνοχωρούμενα πολλὰ, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον ἀφυέστερον εἰς τὴν διασολήν, ὡς ἂν ῥᾷον ὑπὸ πάντων τῶν λυπούντων νικώμενον. ὅτι μὲν τοι ταῦτα πάντα περὶ τῶν ἄρτι μὴ κατασκευασμένων σωμάτων, οἰκείως δὲ ταῖς κατασκευαῖς διαιτωμένων λέγεται, δῆλον μὴν, διὰ ἓξ ὧν ἤδη προειρήκαμεν. ὁ μέντοι σύμπας καὶ τέλειος ὑπὲρ αὐτῶν λόγος ὁ μετὰ ἀποδείξεως προαιρούμενος, ἐν τῷ δευτέρῳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως γεγράπται. ὅσα τε διὰ ἐκείνην τὴν πραγματείαν ἀναγνωσέον ὄντι τοῖς ὀρθῶς μέλλουσι μετιέναι τὰ περὶ τοὺς σφυγμούς. καὶ μέν τι καὶ περὶ τοῦ ταχέως σφυγμοῦ διὰ τοῦ τρίτου τῶν ὑπομνημάτων ἐκείνων ἀποδέδεικται, πλείονα ἁμαρτάνουσιν οἱ πλείστοι τῶν ἰατρῶν εἰς τὴν διάγνωσιν αὐτῶν, τὸν βραχύχρονον, ὀλύθους καὶ ταχὺ εἶναι νομίζοντες. ἀμέλει καὶ τὸν ἡ γυναικὸς σφυγμὸν, ἕνεκα γάρ τοι τῶν νῦν προκειμένων, ἐμνημόνευσα τῶν ἐν ἐκείνοις ἀποδεδειγμένων, ἵνα

νῦς ταχὺ

νως ταχὺ εἶν νομίζουσιν. ὁ δ' ὀξὺς μὲν θάττον, ὑμὸν δὲ ἀξιολόγως γε πρὸς καὶ μεγάλη διαφορᾷ τοῦ τῶν ἀρρένων ὑπερέχει. τὸ μὲν οὖν ἀληθὲς οὕτω καὶ γεγράφθαι καλῶς τοῖς εἰσαγομένοις, βραχεῖ βραδύτερον ὁ τῶν ἀνδρῶν εἶν σφυγμὸς τοῦ τῶν γυναικῶν. ὑμὸν δὲ ἡ αἰτία προσκειται καθάπερ καὶ ἄλλῳ τινὶ τῶν ἐκεῖ γεγραμμένων. ἀλλὰ νῦν εἰρήσεται. ὅσον μὲν οὖν τοῦ καὶ τῇ διάμειν ἀρρωστότερον εἶν καὶ τῇ θερμασίαν ἐλάττονα τῇ τῶν γυναικῶν, ἐχέτω καὶ τὸν σφυγμὸν εἶν βραδύτερον, ἀμφοτέροις γὰρ τοῖς εἰρημένοις αἰτίοις οἰκεῖον ὁ τοιοῦτος ἐλέχθη. ἀλλὰ ἔστει πολλῷ μικρότερος ὄν, καὶ διὰ ὅσον καὶ τὸ ἡλικίας οὐχ ἱκανῶς πλησθῆναι, προσίθησιν ὅσον διάστημα τοῦ τάχει. ὅσον γὰρ ὁ πρῶτος λόγος ἐλειφθη ἀναγκαῖον ὑπάρχειν, καὶ ὅσις ὁ μέμνηται τῶν ἐν ἐκείνῳ γεγραμμένων, μάτην καὶ τούτοις ἐντυγχάνει. εἰ μὲν οὖν τὸ πρόσθιον τοῦ τάχος τοσοῦτον ἦν, ὡς αὐτάρκως ἅπασαν τὴν χρείαν πληροῦν, οὐδὲν ἂν ἐλλείπειν πυκνότητος. ἐπεὶ δὲ πολλῷ μὲν ἀπολείπει ἡ χρείας ἡ ἐνέργεια διὰ τὴν μικρότητα ἡ διαστολῆς, βραχύ δ' ἐπωφελεῖται διὰ τὸ τάχος, ἀναγκαῖον ἦν ἡ πυκνὸν ἀξιολόγως γίνεσθαι τὸν σφυγμόν. καὶ γὰρ καὶ οὕτω διὰ τὸν πρώτως διείρηται λόγον. γυμνοῦσθαι μὲν δὴ ἀνθρώπων, ὅταν διαφέρωσι τοῖς σφυγμοῖς, τὸ δ' ἄρρεν θήλεος ἀνάλογον μὲν, ὑμὸν δὲ πάντα γε ὡσαύτως, ἀλλ' ὡς ἐμπροσθεν εἴπομεν. ἁπλῶς γὰρ μείζονα καὶ σφοδρότερον καὶ ἀραιότερον, ἀκέπι δὲ καὶ πολλῷ τὸν σφυγμὸν ἔχει τὸ ἄρρεν τοῦ θήλεως. πρὸς μὲν δὴ τούτων ἀρκεῖ καὶ ταῦτα. μεταβῶμεν δ' ἐπὶ τὴν ἐξῆς ῥῆσιν πρὸς ἣν ἡμῖν τὴν κράσιν διαφορᾶς διηλάσκησαν. Οἱ δὲ φύσει θερμοὶ, μείζονα μὲν καὶ ὠκύτερον καὶ πυκνότερον πολλῷ. σφοδρότερον δὲ ὑ πολλῷ.

Καὶ ὅτος ὁ λόγος ἐν ἑαυτῷ πρόειχει ζήτημα μέγιστον, ᾧ μὴ δ' ἐπιβάλλειν τὶς δύναται τὴν διάνοιαν τῶν εἰσαγομένων, εἰ μὴ πάνυ σπουδαῖος ὑπάρχει. τῶν γὰρ φύσει θερμῶν, οἱ μὲν ὑγροὶ εἶν λέγεσι, οἱ δὲ ξηροὶ, ἐχέτω οὖν ἔχ ἁπλῶς εἰρῆσθαι τῶν φύσει θερμῶν οἱ σφυγμοὶ. ἀλλὰ πρότερον μὲν τῶν μετ' ὑγρότητος, σύντερον δὲ τῶν μετὰ ξηρότητος. ὑ γὰρ δὴ πάντες οἱ θερμοὶ φύσει οἱ αὐτοὶ ἔχουσι σφυγμοὺς, ἀλλὰ καὶ τρίτοι τινὲς εἰσιν, σύκρατοι μὲν, ὅσον ἐφ' ὑγρότητι, καὶ ξηρότητι, δύσκρατοι δ' ὅσον τῇ θερμότητι. καὶ ὡς ἔκ ὀρθῶς αὐτοὶ παρείδον, ὅσοι πῶ ἡμῶν διείλοντο τὰς κράσεις ἀφορίσαντες διὰ τῶν γραφόντων ἡμῖν πρὸς κράσεων ὑπομνημάτων. τότος δὴ καλεῖν ἔθος ὅτι θερμὸς οὐ τετάρων δυνάμεων, μίαν μόνην ταύτην ὑπὲρ τὰς ἄλλας ἔχοντας οὗτοι τίνων εἰς ὃν θερμότεροι τῶν σύκράτων εἰσιν, εἰς τοσοῦτον καὶ μείζονας καὶ ὠκυτέρους καὶ πυκνοτέρους ἔχουσι οὗς σφυγμούς. καὶ ἡ αἰτία πρόδηλος τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων. ἀλλὰ διατί σφοδροτέρους οὐ πολλῷ οὗς τοιούτους εἴπομεν σφυγμούς; καί τοι γ' ἐν τῷ πρώτῳ λόγῳ τῆσδε τῆς πραγματείας ἀπορήσαντες, εἰ δύναται γένεσθαι σφοδρότερος ὁ σφυγμὸς, ἄνευ τοῦ κατὰ τὴν δύναμιν εἰς ῥώμην ὠφελεῖσθαι. ὅτι τοῖς εἰσαγομένοις οὐ τοιοῦτοι πάντες σφυγμοὶ σφοδρότεροι φαίνονται. παράκειται γάρ πως ὁ ταχὺς ἅμα καὶ μέγας σφυγμὸς, κατά γε τὴν ἀδιάρθρωτον φαντασίαν τοῦ σφοδρῷ ὥστε καί τινος καὶ αὐτῶν τὰ συγγράμματα καταλειπόντων ἡμῖν ἰατρῶν, ἐν ἄλλῳ τινὰ σφοδρὸν ἔφασαν εἶν σφυγμόν, ἢ τὸν ἐκ μεγέθους τε καὶ τάχους σύνθετον, ὅπου ἔχει τοῖς εἰσαγομένοις κινεῖν τηλικαῦτα ζητήματα. συμφέρει γὰρ αὐτοῖς ὑπὲρ πολλῶν τὸ ἀδιόριστον τε καὶ συγκεχυμένον μᾶλλον τοῦ διηρθρωμένου, ὅταν γε βεβαίας ὅσον δέηται θεωρίας, καὶ λόγων μακρῶν, καὶ χρόνου πολλοῦ. ἀλλ' ἡμεῖς ἐν τῷ πρώτῳ λόγῳ περὶ δὲ περὶ πραγματείας, αὐτάρκως πρὸ τούτου διειλεγμένοι, μέλλοντες δὲ καὶ τοῖς ἑξῆς, ὅταν ὁ πρὸ τῶν ῥυθμῶν ἀφίκηται λόγος, αὖθις ἐρεῖν τι, κατὰ μὲν τὸ παρὸν ἐντεῦθεν καταπαύσωμεν τὴν διήγησιν. ἑτέραν δ' ἤδη λέξιν προχειρισόμεθα. Οἱ δ' ἰσχνότεροι μείζονα μὲν καὶ ἀραιότερον πολλῷ, σφοδρότερον δ' ὀλίγῳ.

Πάλιν ἐνταῦθα οὐκ ἰσχνοτέρους ἀκουστέον ἄνευ τινὸς ἄλλης διαθέσεως. εἰ γὰρ ἡ τοι περὶ κράσεως ἐναλλαγείσης, ἢ περὶ δυνάμεως, ἢ διά τι πάθος ἰσχνότερος γένοιτο, σώθετος ἡ τροπὴ τῶν σφυγμῶν ἔσται, καὶ οὐκ ἐπὶ διὰ μόνην τὴν ἰσχνότητα. ἰσχνότης οὖν αὐτὴ μονὴ κατὰ τὸν ἑαυτῆς λόγον, εὐρυτέρας μὲν τὰς χώρας τῶν ἀρτηριῶν ἐργαζομένη κουφοτέρα δὲ τὰ ὑπακείμενα σώματα, μεγέθος ἱκανὸν προσδίδωσι τοῖς σφυγμοῖς. ὥστε ἂν ἴσης περὶ χρείας μενούσης αὐξάνεται τὸ μέγεθος, ἀραιοτέρους ἐνταῦθα ἀναγκαῖον γίνεσθαι τοὺς σφυγμούς, εἰς τοσοῦτον εἰς ὅσον καὶ μείζονας. μείζους δ' ἦσαν πολλῷ, γένοιτ' ἂν οὖν οὕτω καὶ ἀραιότεροι πολλῷ. σφοδρότεροι δὲ τοῦτο φανοῦνται, ὅσῳ διὰ λεπτοτέρων ὁμιλοῦσι τοῖς ἀπομένοις σωμάτων. ἴσως δὲ προσκτᾶσθαι τινὰ τόνον, ἀλλὰ δὲ μᾶλλον ὃν ἔχουσιν ὑπείκνυσθαι, τοιοῦτοι φαίνονται. περὶ δὲ τάχους καὶ βραδυτῆτος, οὐδὲν ἐκτὸς αὐτῶν εἴρηται, οὐδὲν γὰρ οὐδ' ἕτερον τούτων ἐκ περὶ ἰσχνότητος προσλαμβάνουσι, ἀλλ' ὡσαύτως ἔχουσι τοῖς βραχυτέροις, ὅταν καὶ ῥώμης καὶ χρείας αὐτοῖς ὡσαύτως ἔχωσιν. ἑξῆς δὲ περὶ τῶν ἡλικιῶν ὧδέπως γεγράφθαι. Τρέπονται δὲ ἡ περὶ μὲν τὰς ἡλικίας ὧδέπως. ὁ μὲν τοῦ νεογνοῦς παιδίου πυκνότατος. ὁ δὲ τοῦ γέροντος ἀραιότατος. οἱ δ' ἐν τῷ μεταξὺ πάντων, ἀνάλογον. ἐφ' ὅσον αὖ ἡ παιδὸς ἡ γέροντος ἐγγύτεροι τυγχάνουσιν ὄντες. ὡσαύτως δὲ τάχιστος μὲν ὁ τοῦ παιδὸς. βραδύτατος δ' ὁ τοῦ γέροντος. οἱ δὲ τῶν ἄλλων ἡλικιῶν ἐν τῷ μεταξύ. πολλῷ δὲ μείζων ἡ περὶ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον, ἢ περὶ τάχος. ἐν δὲ τῇ περὶ σφοδρότητα καὶ μέγεθος διαφορᾷ, μέγιστος μὲν ὡς ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων. μικρότατος δὲ ὁ τῶν γερόντων. μέσος δὲ βραχεῖ μείζων ὁ τῶν παιδίων. καὶ σφοδρότατος μὲν, ὁ τῶν ἀκμαζόντων. ἀμυδρότατος δὲ ὁ τῶν γερόντων. μέσος δ' αὐτῶν ὁ τῶν παιδίων. Οτι πυκνότης καὶ ἀραιότης σφυγμῶν κατὰ διπλοῦν νοεῖται τρόπον, ἑτέρως μὲν ὑπὸ τῶν καὶ ἡ συσολῆς διαδάνεσθαι λεγόντων, ἑτέρως δ' οἷς ἀναίδηκτος αὖτη, σαφέστερον μὲν ἐν τοῖς περὶ ἡ διαφορᾶς τῶν σφυγμῶν εἴρηται λόγοις. σὺ μὲν ἀλλὰ, καὶ ἐν αὐτῷ τούτῳ δὲ βιβλίῳ δὲ τῆς εἰσαγομένοις γεγραμμένοις δεδήλωται, καὶ ἠξιοῦμέν γε αὐτοῦ ὡς ἐπὶ ἀναίδηκτον πρότερον γυμνάζεσθαι ἡ συσολῆς. ἔστι μὲν οὖν ἀκριβέστερόν τε ἅμα καὶ μακρῷ χρησιμώτερον, ἐν δὲ τῶν ἐρεμιῶν ποσῷ σπουδάσθαι νομίζειν δεῖν τὸ γένος τῶν σφυγμῶν, ὅταν γὰρ ἡμῖν καὶ τὰ κατὰ τοῦ ῥυθμοὺς εἰς ἀκριβῆ διάγνωσιν ἀφίξεται. ἀλλ' ἐπεὶ τοιοῦτον ἀδιάθεσις ἀδ πυκνὸν, ἢ ἀραιὸν ἐργαζομένη τὸν σφυγμὸν, ἑκατέρας αὐτῶν ταῖς αἱρέσεσι τοιόνδε φαίνεσθαι ποιοῦσιν, εἴη ἂν καὶ ὁ περὶ αἰτίας λόγος

